www.libtool.com.cn

L Gr
D583B

www.libtool.com.cn

Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

http://www.archive.org/details/orationesadiecto00dina

LGr
D583B

# DINARCHI ORATIONES

www.libtool.com.cn

ADIECTO DEMADIS QUI FERTUR

FRAGMENTO

EDIDIT

FRIDERICUS BLASS.

Nr 3934

DUBLETTE

LIPSIAE,
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXI.

www.libtool.com.cn

11995
12/1/91

LIPSIAE: TYPIS B. G. TEUBNERI.

# PRAEFATIO.

www.libtool.com.cn

Satis miro casu factum est, ut et antiquissimi inter oratores Atticos et novissimi ea quae supersunt opera iisdem codicibus nobis tradita sint: quorum codicum inter se non alia in Dinarcho atque in Antiphonte condicio atque ratio est. Quare cum ad ea quae in praefatione Antiphontis editioni praemissa de hac re exposui fortasse ablegare possim, satius tamen videtur hic quoque eadem paucis repetere.

Eorum vitiorum quibus Aldina editio princeps orationes Dinarchi confoedatas praebet, magna pars omnium sex codicum NABLZM consensu sublata est; alia multa tribus codicibus NAB coarguuntur; sunt etiam loci non pauci quibus soli NA (vel A pr.) veram lectionem servaverint, denique persaepe unus Oxoniensis N vitium ceteris omnibus commune tollit. Contra nusquam fere accidit, ut NAB codices falsam, veram ceteri codices lectionem habeant; paullo saepius ut NA (vel A pr.) praeter ceteros in erroris communione sint; sed et N et A saepissime suis ac propriis corruptelis sunt infecti. Si numerare velis, paullo minus LXX locos invenias, quibus NA (vel A pr.) aliud atque ceteri codices praebeant, quarum lectionum plus XL procul dubio verae sunt; Crippsianus A proprias lectiones plus XL vel habet vel ha-

buit, sed eas paene omnes falsas*); denique Oxoniensis circiter CLX locis a ceteris recedit, ita quidem ut earum lectionum tertia ferme pars falsa, tertia vera videatur, de reliquis iudicium minus constet. Qua in computatione eorum locorum rationem non habui, quibus Oxoniensis verborum collocationem aliam atque ceteri codices habet: qui sunt fere quadraginta numero. Correctus est Crippsianus permultis locis, saepe ab ipsa prima manu, saepe ab alia, quae colore atramenti facile distinguitur. Sed hic alter corrector libro adhibito omnibus numeris deteriore magis corrupit quam correxit codicem. Oxoniensis vix decem locis correctoris manum expertus est, quae uno loco (1, 112) quaedam quae male omissa erant ex alio libro addidit, interdum autem pro libidine vel recte vel falso mutasse videtur (cf. 1, 1. 64).

www.libtool.com.cn

Quae cum ita sint, primum id consentaneum est, trium codicum NAB consensu semper rem constare, neque ibi ceterorum rationem ullam habendam esse. Itaque huiusmodi locis nihil a me adnotatum est. Gravissimus codicum N et A consensus neque facile neglegendus; propriae lectiones Crippsiani non ita magni faciendae, Oxoniensis maximi.

---

*) Uno loco A pr. solus verum servavit: 1, 108 *ἀπολογεῖσθαι* pro *ἀπολεῖσθαι*. A corr. solus habet *ἐγκεχείρικεν* 1, 9 (*ἐγκεχείρηκεν*); *γινόμενος* 1, 47 (*γενόμενος*); 1, 78 *ὃ τεταραγμένης* cum Ald. (*ὅτε ταραρ.*); 93 *ἰδίᾳ* (*ἴδια*); 97 *διαπεπραγμένους* corr.[2] (*δὲ πεπραγμένους*). AB soli veras lectiones hasce praebent: *κατέστη* 1, 74 (*κατεστάθη*); *ἐπεὶ* A corr.[1] et B 81 (*ἐπὶ*); *ἂν ἔπραξεν* 3, 11 (B et rec. A: *ἔπραξεν ἂν* L Ald., *ἔπραξεν* cett.), quibus addas 1, 112 *κἂν* AB et rec. N. De *τιμησάμενος* 3, 2 parum constat, cum Bekkerus nihil adnotaverit; in A exstare Dobsonus testatur.

Quamquam de hac quidem re inter homines doctos magna dissensio est. Turicenses enim editores, qui primi Oxoniensi usi sunt, quum multis locis eius lectiones recipere cogerentur, tamen ad librarii docti hominis coniecturas ista omnia referenda esse contenderunt; at contra et Maetznerus ad huius praesertim normam codicis, ut sincerissimi fontis, editionem suam constituit, et Fr. Frankius Oxoniensis auctoritatem acriter defendit*). Accuratius autem ab his viris in Antiphonte, cuius eadem prorsus condicio, de ea re quaesitum ac disputatum est; in Dinarcho Oxoniensem interpolatum esse nemo adhuc dedita opera comprobare studuit. Quo magis ipse, qui in illo quoque oratore ad Maetzneri opinionem haud cunctanter accesserim, in hoc autem ne levissimum quidem interpolationis vestigium in Oxoniensi dispicere possim, hunc unum prae ceteris codicem quatenus eius fieri posset sequendum esse duxi.

Quod ad verborum collocationem attinet, cum Maetznero semper eam quam Oxoniensis praebet recepi, idque eo magis feci, quod non uno loco vulgatae aliquantum praestare videbatur. Exempla ut addam, or. 2, 22 *κατὰ τῶν νῦν μόνων ἀπεφασμένων* ceteri codices, *κατὰ τῶν νῦν ἀποπεφ. μόνων* N praebet, quod coniecerat Reiskius. I, 109 idem Reiskius in verbis *καλοὺς καὶ πολλοὺς κινδύνους* non sine causa offendit: quod desideraverat ille *πολλοὺς καὶ καλοὺς κινδ.* exstat in Oxoniensi. At coniectura mutatum, obiectet aliquis. Num igi-

*) Cf. ed. Turr. praef. p. III sq. — Maetzner. praef. — Fr. Franke N. Jen. Litteraturztg. 1842 nr. 249 sq.

www.libtool.com.cn

tur hoc quoque quod iam proponam ad coniecturam referri potest? 2, 10 *τὴν αὐτὴν ἀρχήν* vulgo, *αὐτὴν τὴν ἀρχήν* in Oxoniensi legitur: *ταύτην τὴν ἀρχήν*, quae est procul dubio vera lectio, e Meieri coniectura receperunt Turicenses. Contra nusquam accidit ut prave N, rectius ceteri codices verba collocent. Praeterea id quoque Oxoniensi concessi, ut in *ν ἐφελκυστικῷ*, elisione, crasi quaeque similia sunt vel adhibendis vel non adhibendis eius auctoritatem sequerer: quibus de rebus ut nullius fere momenti nihil adnotavi. Pari modo vel *ἑαυτοῦ* vel *αὑτοῦ*, *σεαυτοῦ* vel *σαυτοῦ*, *γίγνεσθαι* et *γιγνώσκειν* vel *γίνεσθαι* et *γινώσκειν* secundum Oxoniensis potius lectiones quam ex certa aliqua norma scripsi; non enim praestare ausim ultimum quoque oratorum Atticorum antiquiores formas *γίγνεσθαι* et *γιγνώσκειν* semper adhibuisse. Sunt haec quoque satis levia: itaque commentarios nimiae iam amplitudinis his rebus insuper augeri nolui.

Adieci autem eis quae dixi detractis integram varietatem N A codicum, praeterquam sicubi in accentu vel spiritu vel *ι* adscripto vel denique interpunctione ab iis peccatum erat. Lectiones eas quae ceterorum codicum communes sunt item addidi. Videtur autem Crippsianus, quae etiam Sauppii nunc sententia est, ex eodem exemplari descriptus esse quod Oxoniensis fons fuit; ceteros ex A corr. fluxisse non improbabile est. Certe ad unum omnes exemplar redeunt.

Istud autem archetypon et lacunosum satis et interpolationibus quibusdam confoedatum fuisse facile perspicitur. Interpolationum audacissimus indagator

www.libtool.com.cn

exstitit Kleynius Batavus: ipse in delendo iusto parcior fui, neque quinque amplius locis eam medelam adhibui. I, 18 verba *συμπεπλεγμένα ὡς ἔφασαν* (*φασὶν* primo fuisse videtur) *ἐκ τῶν θαλλῶν* cum Sauppio delevit Maetznerus. — II, 5 integra sententia paullum commutata e § 8 translata est, quam cum Bekkero eiecerunt Turicenses. — 2, 6 *πότερ' ἡ τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν — — — ἀληθὴς καὶ δικαία ἔσται ἡ κατ' Ἀριστογείτονος ἀπόφασις*] *ἡ κατ' Ἀριστ. ἀπόφ.* del. Dobr., *ἀπόφασις* eiecit Mr. Cf. 3, 5. — 2, 20 *καὶ μὴ προέσθαι καὶ μὴ προδοῦναι*] tria posteriora vocabula deleri mal. Maetzner. — 2, 26 *ἐκ Πελοποννήσου πάσης* cum Bk. del. Wm. Turr. Sed praeterea nunc deleta malim: 1, 103 *ἐν Ὀλυμπίᾳ* cum Kleynio; 111 *ὑπὲρ Κτησίππου καὶ Φορμίωνυς καὶ ἑτέρων πολλῶν*; 2, 12 *τῶν παρανόμων*; 15 *γνώριμος καὶ φανερὸς καὶ*; 3, 5 *τῆς ἐν τῷ ψηφίσματι γεγραμμένης*, et similia alia interpretamenta inesse multa persuasum habeo.

Collatus est Crippsianus primum a Bekkero, qui non pauca neglexit, accuratius deinde a Dobsono (A[d]) *). Bekkerus praeterea codices habuit BLZ, Dobsonus M. Oxoniensis et ipse bis colla-

*) Ipse quoque ex eo codice quaedam enotavi, inquirens in ea maxime, quae a secunda manu illata essent: itaque in adnotatione mea aliquanto diligentius quam antea factum erat inter duas manus distinctum est. Ubi delevit tantummodo corrector neque sua adscripsit, consentaneum est uter fuerit sciri non posse; sed praeterea sicubi simpliciter A corr. scriptum exstat, e meae collationis ratione prima manus semper intellegenda est, quamquam diserte id testari nolui.

www.libtool.com.cn

tus est: primum in Turicensium editorum usum a Fr. Thurlando, alia collatio Maetznero praesto fuit (N$^{m}$).

Editiones quae ante Bekkerum prodierunt praeter Aldinam Stephani, Hieron. Wolfii, Reiskii (R.) commemorandae sunt, post eum qui Dinarchum ederent exstiterunt Dobsonus, Car. Ern. Aug. Schmidtius, Turicenses editores Baiterus et Sauppius (Turr., Bait., S.), Maetznerus (Mr.). Emendandis pluribus paucioribusve locis de Dinarcho bene meruerunt recentiore tempore Wurmius (Commentationes in Dinarch., Norimb. 1828), Dobreus, quorum utriusque copiis iam priores editores usi sunt, praeterea Emperius, Frankius (Fr., N. Jen. Litteraturztg. 1842 nr. 249 sqq.; Jahn. Annal. XXVIII p. 67); M. H. E. Meierus (Allg. Litteraturztg. 1843 p. 465 sqq.), Cobetus (Cb.), Hirschigius (Hi.; Philol. 1850 p. 326 sqq.), Kleynius (Dinarchea, Mnemos. VIII p. 81).

In universum Dinarchus, nostro certe tempore, studia hominum doctorum minus excitavit, neque id cuiquam mirum videri potest. Senescentis haec eloquentiae Atticae monumenta habemus, retinentis etiamnum antiquam formam neque in aliam abeuntis, sed vigore pristino nativoque robore magna ex parte destitutae. Figuris quibusdam oratoriis, velut *ἐπαναλήψει*, *ἀποστάσει* (qua absque coniunctione et dirempta ab eis quae proxime praecedunt sententia infertur) ultra modum orator abutitur, quippe quas traditas a prioribus acceperit, non ipse sponte sua inveniat, et expilat Aeschinem, Demosthenem, Iso-

www.libtool.com.cn

cratem*), excidiique Thebarum mentione facta confert ea quae a quoquam de ea re egregie dicta videbantur**). Accedunt alia magis etiam vitio vertenda: quod neque certum aliquem in enarrando probandoque ordinem sequitur et licenter errat et omnia contingens admodum pauca conficit, et quod calumniatur potius quam accusat neque probat magis quam acerba convicia ingerit. Confer Hyperidis in Demosthenem fragmenta: hominem conspicies prudentem rerum publicarum, moderati nescio quid et humani invenies. Quae dum omnia reputant quidam in eam sententiam ablati sunt ut sophistae cuiusdam recentioris opera haec nos habere arbitrarentur: adiuti illi quidem Demetrii Magnetis auctoritate, qui orationem in Demosthenem a Dinarcho abiudicavit***). Equidem praestare non ausim, quod probare nequeo, Dinarchi potius orationes esse quam vel Menesaechmi vel alius cuiusdam ex istius aetatis oratoribus; sed cum antiquitus illius nomine insignitae fuerint et Demetrii iudicium ceterorum omnium maximeque Dionysii contraria sententia elevetur, Dinarchi esse credo; nam confictas a sophista non esse certum mihi indubitatumque est.

www.libtool.com.cn

---

*) Cf. Westermann. Quaest. Demosth. III, 80 n. 118 sqq.

**) § 24.

***) Demetr. ap. Dionys. Din. 1. Recentiorum qui de origine orationum dubitarent praecipui fuerunt Westermannus (Quaest. Dem. l. c.) et Funkhaenelius (Annal. Jahn. 1837 XIX p. 177 sqq.); Westermanno oblocuti sunt Eysellus (Demosth. a suspicione acceptae ab Harp. pecuniae liberat., Marburg. 1836), Sauppius O. A. II p. 321, Maetznerus p. 86 sqq. Arn. Schaeferus, qui primum Westermanno assensus erat, postea sententiam mutavit (Demosth. u. seine Zeit III, p. 309).

Ea autem quorundam dubitatio mihi vel maxime causae fuit, cur adicerem Demadis personati fragmentum istud περὶ δωδεκαετίας, quo luculento exemplo appareret quaenam sit indoles talium orationum, quas sophistae serioris aevi antiquis oratoribus supponere audebant. Quod fragmentum et ipsum multis fraudem fecit, ut eius oratoris ingenii monumentum se habere crederent, quem antiquitus satis constabat scripti nihil reliquisse; nunc post Sauppii expositionem (Orat. Att. II p. 312) dubitandi materia nulla relicta est. Prodiit autem nuper e codice Florentino, quem excerpsit R. Schöll (Hermes III p. 277 sqq.), index XIV Demadearum orationum, quae nobis omnes hac una excepta, quae primo loco in eo indice commemoratur, temporis beneficio ablatae sunt. Fuerunt autem paene omnes singulae singulis Demosthenicis orationibus oppositae: si Demosthenes περὶ τῶν ἐν Χερρονήσῳ scripsit, hic Demades πρὸς Χερρονησίτας, si Demosthenes vel verus vel creditus de Halonneso, pro Olynthiis, adversus Philippi epistulam, hic homo (λόγον) ἐναντίον Ἁλονησίταις, κατὰ τῆς εἰς Ὄλυνθον βοηθείας, ὑπὲρ τῆς Φιλίππου ἐπιστολῆς *). Iam si compares cum hoc quod adhuc exstat fragmento ea quae e reliquis illis orationibus excerpsit Tzetzes, eandem fabricam invenias, idem nempe studium ingeniose et exquisite loquendi, quo isti homines ea quae de Demadis indole oratoria fando acceperant exprimere annisi sunt. Quae cum ita sint, veniam facile me impetraturum spero quod

www.libtool.com.cn

*) Cf. Schöll l. c. p. 280 sqq.

non nimis in hoc scriptore perpoliendo elaboravi: etenim neque satis dignus est in quo operam colloces, et magnopere cavendum, ne dum librarium corrigere velis scriptorem corrigas. Satis corrupti sunt Demadis libri et lacunis vel maxime laborant; at interdum perquam difficile librarii peccata a scriptoris distinguere. Sed eum quidem fructum facile ex hac oratiuncula percipias, qui in ea unicus inesse videtur, ut dispicias quantum intersit inter veri oratoris vel mediocre opus et serioris aevi fraudulosam imitationem: id quod ad iudicium et de Dinarcheis orationibus et de multis aliis recte ferendum plurimum valebit.

Scrib. Magdeburgi a. CIↃIↃCCCLXXI.

**Fridericus Blass.**

www.libtool.com.cn

www.libtool.com.cn

# VITAE DINARCHI.

## 1. DIONYSII HALICARNASSENSIS.

Δείναρχος ὁ ῥήτωρ υἱὸς μὲν ἦν Σωστράτου, Κορίνθιος δὲ τὸ γένος. ἀφικόμενος δ' εἰς Ἀθήνας, καθ' ὃν χρόνον ἤνθουν αἵ τε τῶν φιλοσόφων καὶ ῥητόρων διατριβαί, Θεοφράστῳ τε συνεγένετο
2 καὶ Δημητρίῳ τῷ Φαληρεῖ. εὐφυὴς δὲ περὶ τοὺς πολιτικοὺς λόγους γενόμενος, ἀκμαζόντων ἔτι τῶν περὶ Δημοσθένην ἤρξατο λόγους γράφειν καὶ προήει κατὰ μικρὸν εἰς δόξαν· μάλιστα δ' ἤκμασε μετὰ τὴν Ἀλεξάνδρου τελευτήν, Δημοσθένους μὲν καὶ τῶν ἄλλων ῥητόρων φυγαῖς ἀϊδίοις καὶ θανάτοις περιπεσόντων, οὐδενὸς δ' ὑπολειπομένου μετὰ τοῦ ἀνδρὸς ἀξίου λόγου. καὶ διετέλεσεν ἐτῶν πεντεκαίδεκα χρόνον λόγους συγγράφων τοῖς βου-
3 λομένοις, ἕως Κάσσανδρος τὴν πόλιν κατεῖχεν· ἐπὶ δ' Ἀναξικράτους ἄρχοντος, ἐφ' οὗ κατέλυσαν τὴν ἐν τῇ Μουνυχίᾳ φρουρὰν ὑπὸ Κασσάνδρου καταστασθεῖσαν οἱ περὶ Ἀντίγονον καὶ Δημήτριον βασιλεῖς, αἰτίαν ἔχων ἅμα τοῖς ἐπιφανεστάτοις Ἀθηναίων, καίτοι ξένος αὐτὸς ὤν, καταλῦσαι τὸν δῆμον,

Dionys. Dinarch. c. 2 sq. — Innititur Dionysius, quemadmodum ipse exponit c. 3, Dinarchi contra Proxenum oratione et praeterea Philochori scriptis, in quibus tamen nominatim Dinarchi mentio facta non erat; porro ipse omnia collegit, quoniam priorum nemo de Dinarchi vita orationibusque quicquam accuratius scripserat (c. 1), id quod eis quae apud Demetrium Magnetem de illo legebantur appositis demonstrat. — 1. *Σωστράτου κτἑ.*] cf. c. 3 *γραφὴν* orat. contra Proxenum additam. — 2. *μετὰ τοὺς ἄνδρας* Sylb. R. — *κατεῖχεν* scripsi: *κατέσχεν*. — 3. *ἐπὶ δ' Ἀναξικρ.*] ol. 118, 2. — *ὑπὸ Κασσάνδρου* Sylb.: *ἀπὸ Κασσάνδρου*. —

ὁρῶν ἠρεθισμένους τοὺς Ἀθηναίους καὶ μάλιστα
τῷ πλουτεῖν ἑαυτὸν ὑφορώμενος, μὴ διὰ τοῦτο
πάθῃ τι δεινόν, εἰςελθεῖν μὲν εἰς δικαστήριον οὐχ 4
ὑπέμεινεν, ἐξελθὼν δὲ τῆς πόλεως καὶ ἐλθὼν εἰς
Χαλκίδα τὴν ἐν Εὐβοίᾳ τὸν ἀπ' Ἀναξικράτους
χρόνον ἕως Φιλίππου πεντεκαιδεκαετῆ γενόμενον
ἐκεῖ διέτριψεν, εἴ τις αὐτῷ γένοιτο διὰ Θεοφράστου
καὶ τῶν ἄλλων φίλων κάθοδος. (c. 3) Συγχωρή- 5
σαντος δὲ τοῦ βασιλέως μετ' ἄλλων φυγάδων κά-
κείνῳ κατελθεῖν, ἀφικόμενος εἰς Ἀθήνας καὶ παρ'
ἑνὶ τῶν φίλων Προξένῳ καταχθεὶς χρυσίον ἀπολ-
λύει, γηραιὸς ὢν ἤδη καὶ τὰς ὄψεις ἀσθενής. ὀλι-
γώρως δ' ἔχοντος τοῦ Προξένου πρὸς τὴν ζήτησιν
δίκην ἔλαχεν αὐτῷ περὶ τῶν χρημάτων, αὐτὸς οὐ-
δεπώποτε πρότερον εἰς δικαστήριον παρελθών.

www.libtool.com.cn

## 2. E VITIS X ORATORUM PLUTARCHO ASCRIPTIS.

Δείναρχος Σωκράτους ἢ Σωστράτου, ὡς μέν
τινες ἐγχώριος, ὡς δέ τισι δοκεῖ Κορίνθιος, ἀφι-
κόμενος εἰς Ἀθήνας ἔτι νέος, καθ' ὃν χρόνον Ἀλέ-
ξανδρος ἐπὶ τὴν Ἀσίαν (διέβαινε), κατοικήσας αὐ-
τόθι ἀκροατὴς μὲν ἐγένετο Θεοφράστου τοῦ δια-
δεξαμένου τὴν Ἀριστοτέλους διατριβήν, ὡμίλησε
δὲ καὶ Δημητρίῳ τῷ Φαληρεῖ. μάλιστα δὲ . . . 2

4. Φιλίππου] ol. 122, 1. — πεντεκαιδεκαετῆ B et cum Sylb. R.: πεντεκαίδεκα ἔτη. Praeterea R. ante hoc v. καὶ αὐτὸν addi mal. — In cap. 4 Dion. aetatem oratoris ita constituit, ut cum redux Chalcide fieret septuagenarium eum fuisse ponat; itaque natum esse circiter ol. 104, 4 a. Chr. 361/0. De morte Dinarchi nihil omnino dicit.

2. Plutarchus. Haec vita ex eis quae Dionysius congessit maximam partem contexta est, additis paucis quae Caecilio fortasse debentur. Sed quae apud illos dilucide exposita erant, hic scriptor male corrupit et obscuravit. E Plutarcho rursus Photius (cod. 267) sua deprompsit. — 1. ἐπὶ τὴν Ἀσ. διέβαινε (διέβη R.) ex Photio Wyttenbach.: ἐπῄει τὴν Ἀσίαν X Westerm.; ἐπὶ τὴν Ἀσίαν v. — 2. μάλιστα δὲ προςῄει τῷ πολ. Wyttenb. Westerm. Dionys. habet μάλιστα δὲ ἤκμασε, Photius ἐδείχθη πολιτευόμενος. —

τῷ πολιτεύεσθαι μετὰ τὴν Ἀλεξάνδρου τελευτήν,
τῶν μὲν ἀνῃρημένων ῥητόρων, τῶν δὲ πεφευγότων.
φίλος δὲ Κασσάνδρῳ γενόμενος ὡς ἐπὶ πλεῖστον
προέκοψε χρήματα τῶν λόγων εἰςπραττόμενος, οὓς
τοῖς δεομένοις συνέγραφεν. — ἀντετάξατο δὲ πρὸς
3 τοὺς ἐπιφανεστάτους τῶν ῥητόρων, οὐκ εἰς δῆμον
παριών — οὐ γὰρ οἷός τ' ἦν —, ἀλλὰ τοῖς ἐναν-
τιουμένοις λόγους συγγράφων. καὶ ἐπειδὴ Ἅρπα-
λος διέδρα, πλείους λόγους συνέγραψε κατὰ τῶν
αἰτίαν ἐχόντων δωροδοκῆσαι, καὶ τούτους τοῖς κα-
4 τηγόροις ἐξέδωκεν. — χρόνῳ δ' ὕστερον αἰτιαθεὶς
εἰς λόγους παραγίνεσθαι Ἀντιπάτρῳ καὶ Κασσάν-
δρῳ παρὰ τὴν κατάληψιν τῆς Μουνυχίας, ἡνίκα
ὑπ' Ἀντιγόνου καὶ Δημητρίου ἐφρουρήθη ἐπ'
Ἀναξικράτους ἄρχοντος, ἐξαργυρισάμενος τὰ πλεῖ-
στα τῆς οὐσίας ἔφυγεν εἰς Χαλκίδα. διατρίψας δ'
ἐπὶ τῆς φυγῆς ὡς ιέ ἔτη καὶ πολλὴν οὐσίαν κτη-
σαμενος κατῆλθε, πραξάντων αὐτῷ τὴν κάθοδον
τῶν περὶ Θεόφραστον ἅμα τοῖς ἄλλοις φυγάσι.
5 καταλύσας δὲ παρὰ Προξένῳ ἑταίρῳ αὐτοῦ καὶ τὸ
χρυσίον ἀπολέσας, ἤδη γηραιὸς ὢν καὶ τὰς ὁράσεις
ἀσθενής, (οὐ) βουλομένου τοῦ Προξένου ἀναζητεῖν,
λαγχάνει αὐτῷ δίκην, καὶ τότε πρῶτον εἶπεν ἐν
δικαστηρίῳ. σώζεται δ' αὐτοῦ καὶ ὁ λόγος. —
6 φέρονται δ' αὐτοῦ καὶ λόγοι γνήσιοι ἑξήκοντα τέσ-

www.libtool.com.cn

*Ἀλεξάνδρου* Westerm. cum Dionysio: *Ἀντιπάτρου* v. et Photius. — *ὡς ἐπὶ πλεῖστον προέκοψεν*] *ἐπὶ πλεῖστον εὐδαιμονίας ἀφίκετο* Phot. — 3. Haec ex alio auctore male scriptor interposuit. — *πλείους*] *πλείστους* Phot. — *συνέγραψε* scripsi: *συνέγραφε*. — 4. *Ἀντιπάτρῳ καὶ* om. Photius. cf. ad § 2. — *παρὰ*] *περὶ* cum P Westerm., *διὰ* ci. R. Haec autem omnia usque ad *ἄρχοντος* om. Phot., credo quia sensu carere videbat. — 5. *τὸ χρυσίον* etiam Phot. — *οὐ* add. Xyl. — 6. *καὶ* ante *λόγοι* del. mal. R. — *ἑξήκοντα τέσσαρες*] LX enumerat Dionysius Din. c. 10. 12; eundem genuinarum numerum orationum etiam Suidas habet. Num igitur: *ἑξήκοντα· τέσσαρας τούτων ἔνιοι παραλαμβάνουσιν* (*παραιροῦνται*) *ὡς Ἀρ.*? cf. Phot. Spurias Dionys. plus XXVII enumeravit; Demetrius Magnes (ap. Dionys. c. 1, cf. Suid.) plus CLX orationes Dinarcho tribuit, quo de numero, ut ait Dionys., ceterorum

σαρες· τούτων ἔνιοι παραλαμβάνονται ὡς Ἀριστογείτονος. ζηλωτὴς δ' ἐγένετο Ὑπερείδου ἢ ὥς τινες Δημοσθένους διὰ τὸ παθητικὸν καὶ σφοδρόν· (καὶ) τῶν σχημάτων δ' αὐτοῦ μιμητὴς ὑπάρχει.

www.libtool.com.cn

### 3. SUIDAE.

Δείναρχος Κορίνθιος, ῥήτωρ, τῶν μετὰ Δημοσθένους ἐγκριθέντων εἷς — υἱὸς τίνος ἐστὶν οὐχ ἱστόρηται —, γράψας κατὰ μέν τινας λόγους τοὺς πάντας ρξ', κατὰ δὲ τὸ ἀληθέστερον μόνους ξ', τοὺς πάντας δικανικούς, ὧν οἱ μέν εἰσι δημόσιοι, οἱ δὲ ἰδιωτικοί. ἐτελεύτησε δ' οὗτος, ἐπιμελητὴς Πελοποννήσου καταστὰς ὑπ' Ἀντιπάτρου, μετὰ το τελευτῆσαι Ἀντίπατρον, Πολυσπέρχοντος αὐτῷ ἐπιβουλεύσαντος.

---

## DE DINARCHI ELOQUENTIA IUDICIA VETERUM.

### 1. DEMETRII MAGNETIS.

Ἔστι τοίνυν οὗτος, κατά γε τὴν ἐμὴν δόξαν, οὐδὲν ἀπολείπων τῆς Ὑπερείδου χάριτος, ὥστ' εἰπεῖν „καί νύ κεν ἢ παρέλασεν". ἐνθύμημα γὰρ

auctorum nemo cum eo consentiebat. Auctor indicis a Studemundio restituti (Herm. II, 434) de CCCCX orationibus Dinarcheis loquitur. — Δημοσθένους διὰ τὸ παθητ. ci. R.: διὰ τὸ παθ. Δημ. Cf. autem Dionys. c. 5. 8, ad quem propius etiam accedit Photius.

3. Suidas. Vv. υἱὸς — ἱστόρηται bene om. V. — κατα μέν τινας] h. e. Demetrium Magnetem, v. infra. — ἐτελεύτησε κτἑ.] hic alius est Dinarchus, v. Plut. Phoc. 33 (West.).

Iud. Vet. 1. Demetrius Magn. περὶ ὁμωνύμων ap. Dionys. Din. c. 1, qui suo iure de eo dicit (c. 2): ὀνόματα μόνον κοινὰ καὶ περιτρέχοντα ἐσπούδασε. — καί νύ κεν κτἑ.] Iliad. 23, 382; cf. Dionys. de compos. p. 117 R. —

φέρει πιστικόν, καὶ σχῆμα παντοδαπον· πιθανότητός γε μὴν οὕτως ευ ἥκει, ὥστε παριστάνειν τοῖς ἀκούουσι μὴ ἄλλως γεγονέναι τὸ πρᾶγμα ἢ ὡς αὐτὸς λέγει. καὶ νομίσειεν ἄν τις εὐήθεις εἶναι τοὺς ὑπολαβόντας τὸν λόγον τὸν κατὰ Δημοσθένους εἶναι τούτου· πολὺ γὰρ ἀπέχει τοῦ χαρακτῆρος· ἀλλ' ὅμως τοσοῦτον σκότος ἐπιπεπόλακεν, ὥςτε τοὺς μὲν ἄλλους αὐτοῦ λόγους, σχεδόν που ὑπὲρ ἑξήκοντα καὶ ἑκατὸν ὄντας, ἀγνοεῖν συμβέβηκε, τὸν δὲ μὴ γραφέντα ὑπ' ἐκείνου μόνον ἐκείνου νομίζεσθαι. ἡ δὲ λέξις ἐστὶ τοῦ Δεινάρχου κυρίως ἠθική, πάθος κινοῦσα σχεδὸν τῇ πικρίᾳ μόνον, καὶ τῷ τόνῳ τοῦ Δημοσθενικοῦ χαρακτῆρος λειπομένη, τοῦ δὲ πιθανοῦ καὶ κυρίου μηδὲν ἐνδέουσα.

www.libtool.com.cn

## 2. DIONYSII HALICARNASSENSIS.

(c. 5) — — οὐδὲν γὰρ οὔτε κοινὸν οὔτ' ἴδιον ἔσχεν, οὔτ' ἐν τοῖς ἰδίοις οὔτ' ἐν τοῖς δημοσίοις

πειστικὸν Kruegerus. — γε μὴν Sylb. R.: τε μὴν. — τοσοῦτον σκότος ἐπιπεπ. R.: τοσούτους σκοποὺς ἐπιπεπόληκεν. — ὑπὲρ ἑξήκ. καὶ ἑκ.] Dionys. c. 2: πλῆθος λόγων εἶπεν οὐδενὶ τῶν (ἄλλων) σύμφωνον. — ἀγνοεῖσθαι Sylb. — fort. (ἀλλὰ καὶ) πάθος κινοῦσα, σχεδὸν τῇ πικρ. μόνον καὶ τῷ τόνῳ κτέ. — κυρίου] καιρίου ci. R.

2. Dionysius. Cf. etiam initium libelli: Περὶ Δεινάρχου τοῦ ῥήτορος οὐδὲν εἰρηκὼς ἐν τοῖς περὶ τῶν ἀρχαίων γραφεῖσιν, διὰ τὸ μήτε εὑρετὴν ἰδίου γεγονέναι χαρακτῆρος τὸν ἄνδρα, ὥςπερ τὸν Λυσίαν καὶ τὸν Ἰσοκράτην καὶ τὸν Ἰσαῖον, μήτε τῶν εὑρημένων ἑτέροις τελειωτήν, ὥςπερ τὸν Δημοσθένην καὶ τὸν Αἰσχίνην καὶ Ὑπερείδην ἡμεῖς κρίνομεν· ὁρῶν δὲ καὶ τοῦτον τὸν ἄνδρα παρὰ πολλοῖς ἠξιωμένον ὀνόματος ἐπὶ δεινότητι λόγων κτέ., et iudicia de singulis orationibus quas a Din. abiudicat (c. 11), qualia sunt haec: ἀπ' αὐτοῦ τοῦ χαρακτῆρος εὕροι τις ἂν οὐκ ὄντα τὸν λόγον Δεινάρχου· ὑδαρής τε γὰρ καὶ ἀσθενὴς καὶ ψυχρός ἐστι. — οὐδ' οὗτος ὁ λόγος ἐμφαίνει τὸν Δεινάρχου χαρακτῆρα. εἰ γὰρ κἂν μηδὲν ἄλλο, τό γ' οὖν ἠλίθιον καὶ σοφιστικὸν εὕροι τις ἂν ἐν αὐτῷ πολύ, τὸ πλεῖστον ἀπέχον τῶν Δεινάρχου χαρακτήρων.

οὔτε κοινὸν οὔτ' ἴδιον] cf. c. 6 extr.: ὁ δὲ Δείν. οὔτε ομοιος ἐν ἅπασίν ἐστιν οὔτε ἰδίου τινὸς εὑρετής. —

ἀγῶσιν· ἀλλὰ καὶ τοῖς Λυσίου παραπλήσιός ἐστιν ὅπου γίνεται καὶ τοῖς Ὑπερείδου καὶ τοῖς Δημοσθένους λόγοις. καὶ τούτων πολλὰ δή τις ἔχει παραδείγματα ἐκθέσθαι· τοῦ μὲν Λυσιακοῦ χαρακτῆρος ἔν τε τῷ περὶ Μνησικλέους (κλήρου) λόγῳ καὶ ἐν τῷ κατὰ Λυσικράτους ὑπὲρ Νικομάχου καὶ ἐν ἄλλοις πολλοῖς· τοῦ δὲ Ὑπερείδου, ταῖς τε οἰκονομίαις ἀκριβεστέρου καὶ ταῖς κατασκευαῖς γενναιοτέρου πῶς ὄντος τῶν Λυσιακῶν, ἐν πλείοσι μὲν ἢ τριάκοντα Δεινάρχου λόγοις παραδείγματα εὑρεῖν ἔστιν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ περὶ τῆς Ἀγάθωνος διαμαρτυρίας. οὐ μὴν ἀλλὰ καὶ τοῦ Δημοσθενικοῦ χαρακτῆρος, ὃν μάλιστα ἐμιμήσατο, πολὺ πλείω δύναιτ' ἄν τις εἰπεῖν, ὡς καὶ ἐν τῷ κατὰ Πολυεύκτου· προοιμιάζεται γὰρ ὁμοίως ἐκείνῳ, καὶ δι' ὅλου τοῦ λόγου παραπλήσιος μεμένηκεν. — — — (c. 8) — — οἱ δὲ Δημοσθένην προχειρισάμενοι καὶ τὰς ἀρετὰς τὰς ἐκείνου διώκοντες τῆς μὲν προαιρέσεως ἕνεκα ἐπηνέθησαν, οὐ μὴν ἴσχυσαν τὰ κράτιστα τῶν ἐκείνου τοῦ ῥήτορος ἔργων λαβεῖν. τούτων ἄριστον ἄν τις θείη τὸν Δείναρχον γενέσθαι· λείπεται δὲ Δημοσθένους κατὰ μὲν τὴν ἐκλογὴν τῶν ὀνομάτων τῇ δεινότητι, κατὰ δὲ τὴν σύνθεσιν τῇ ποικιλίᾳ τῶν σχημάτων καὶ τῇ ἐξαλλαγῇ· κατὰ δὲ τὴν εὕρεσιν τῶν ἐπιχειρημάτων τῷ μὴ καινὰ καὶ παράδοξα λαμβάνειν ἀλλὰ φανερὰ καὶ ἐν τῷ μέσῳ κείμενα· κατὰ δὲ τὴν οἰκονομίαν τῇ τάξει καὶ ταῖς ἐξεργασίαις τῶν ἐπιχειρημάτων καὶ ταῖς προκατασκευαῖς καὶ ταῖς ἐφόδοις καὶ τοῖς ἄλλοις τεχνικοῖς παραγγέλμασιν ἃ περὶ ταύτην ἐστὶ τὴν ἰδέαν. μάλιστα δ' αὐτοῦ λείπεται τῇ συμμετρίᾳ καὶ τῷ εὐκαίρῳ (καὶ) πρέποντι. λέγω δὲ ταῦτα οὐκ ἐν τῷ καθόλου τρόπῳ, ὡς μηδὲν τούτων κατορθοῦντος, ἀλλ' ἐν τῷ κοινο-

www.libtool.com.cn

mal. πολλὰ ἄν τις ἔχοι (ἔχοι etiam R. ci.). — κλήρου post Μνησ. coll. c. 12 add. S. — δύναιτ' ἄν τις εὑρεῖν mal. S. — (c. 8). καὶ τῷ εὐκαίρῳ καὶ πρέποντι scripsi coll. de Dem. c. 34: καὶ τῷ καιρῷ πρέποντι. —

τέρῳ καὶ ὡς ἐπὶ τὸ πολύ. δι' αὐτὸ γὰρ τοῦτο καὶ ἄγροικόν τινες Δημοσθένην ἔφασαν εἶναι, κατὰ τὸ ἐλλιπὲς τῆς οἰκονομίας ταύτην περὶ αὐτοῦ τὴν δόξαν λαβόντες· τὸ γὰρ ἄγροικον τοῦ πολιτικοῦ σώματος οὐ μορφῇ, κατασκευῇ δὲ καὶ διαθέσει τινὶ τῆς μορφῆς διήνεγκεν.

www.libtool.com.cn

### 3. HERMOGENIS.

Ὁ δὲ Δείναρχος πολιτικὸς ὢν οἷα σαφὴς καὶ ἀληθὴς καὶ πιθανὸς πολὺ τὸ σφοδρὸν ἔχει καὶ τὸ τραχὺ κατά τε τὴν ἔννοιαν καὶ τὴν μέθοδον. κατὰ δὲ αὐτὴν τὴν λέξιν ἧττόν ἐστι σφοδρός· κατὰ μέντοι τὰ περὶ τὴν λέξιν, οἷον σχήματα κῶλα συνθήκας ἀναπαύσεις ῥυθμούς, καὶ πάνυ σφοδρός τε καὶ τραχύς ἐστι. διὸ καὶ ἧττον ἐπιμελὴς ὁ λόγος αὐτῷ, γοργὸς μέντοι καὶ δεινὸς οὐ μετρίως. μᾶλλον δὲ εἶναι δοκεῖ ἢ ἔστι δεινὸς διὰ τὸ τῆς τοιαύτης μᾶλλον μετέχειν δεινότητος. καθόλου τε ὁ ἀνὴρ ἐμφαινόμενον ἔχει πολὺ τὸ Δημοσθενικὸν διὰ τὸ τραχὺ καὶ γοργὸν καὶ σφοδρόν, ὥςτ' ἤδη τινὲς καὶ προςπαίζοντες αὐτὸν οὐχ ἀχαρίτως κρίθινον Δημοσθένην εἰρήκασι.

---

## ARGUMENTA ORATIONUM

### BREVITER DESCRIPTA.

Or. I. in Demosthenem. Ex eis civibus qui ab Areopago munerum ab Harpalo acceptorum apud populum delati et ex populiscito rei facti erant,

*πολιτικός* urbanus.

1. Hermogenes *περὶ ἰδεῶν B*, Sp. Rh. Gr. II, p. 413, qui sexto loco inter X oratores Dinarchi mentionem facit. — *τὸ τραχὺ*] cf. *A* p. 299 Sp.: *παραδείγματα δὲ τῆς ἀπαραμυθήτου τραχύτητος παρὰ μὲν τῷ ῥήτορι καὶ πάνυ ἐστὶν ὅπερ ἔφην σπάνια, ὁ δὲ Ἀριστογείτων σοι ἄφθονα παρέξεται νὴ Δία — — πολλὰ δὲ τοιαῦτα καὶ παρὰ τῷ Δεινάρχῳ.*

quinque ab Dinarcho orationibus accusatorum alicui compositis impugnati sunt: Philocles Hagnonides Aristonicus Demosthenes Aristogiton, inter quas orationes tres hae aetatem tulerunt. Demosthenis causa prima in iudicium venit: XX talentum nomine scriptus erat, mille quingenti sedebant iudices, accusabant decem oratores a populo constituti. Inter quos Stratocles primo loco verba fecit, altero is cui Dinarchus hanc orationem composuit, qui quisnam fuerit ignoratur. Accusatorum unus etiam Hyperides fuit, cuius exstant fragmenta illa lacera in Aegypto reperta; de Pythea quoque idem compertum habemus. Reus cum frustra defensionem tentavisset L talentum multa damnatus est, quam nisi statim solvisset, in vincula ut coniceretur sententiae additum. Atque ita factum est, sed paucis diebus post Demosthenes ex carcere evasit et in exilium abiit.

www.libtool.com.cn

Or. II in Aristogitonem. Perditus civis Aristogiton et identidem iudicum sententiis damnatus Harpalicae quoque causae implicatus est: viginti minis ab Harpalo eum corruptum esse Areopagus arguebat. Reus post Demosthenem et Demadem in iudicium venit, iracundia populi illorum poena iam magnam partem expleta; quo factum est ut iudicio absolveretur*). Oratio, quam mutilam nos habere dudum perspectum est, Maetznero et ipsa *δευτερολογία* fuisse videtur, mihi principe loco habitam esse magis probatur. Etenim una erat causa omnium eorum quorum nomina Areopagus detulerat; itaque qui ex his non primo loco in iudicium arcessiti sunt, in eos eodem fere modo perorandum erat quem in *δευτερολογίαις* videmus. Ea igitur huius quoque orationis forma est; sed praeterea

---

*) Si quidem fides praestanda ei qui epistulam tertiam quae Demosthenis dicitur composuit (§ 37. 41).

quaedam inesse videntur quae principali magis accusatori primaeque orationi conveniant*)

Or. III in Philoclem. Philocles praetor Piraeeo praefectus cum populo recepisset se Harpali classem portum intrare prohibiturum esse, postea illum una triremi advectum intromisit. Quod cum eum pecunia corruptum fecisse vulgo arguerent, ipse de se quaestionem Areopago mandavit, qui inter ceteros illius quoque nomen apud populum detulit. Itaque populiscito primo loco Philocles reus factus**) post damnatos complures alios in iudicium venit. Neque illum vel priora merita vel innocentia vitae tutari potuerunt, quominus iudicum sententiis damnatus in exilium abire cogeretur***). Oratio Dinarchi a Maetznero et ipsa *δευτερολογία* putatur: id quod ut minime certum, ita aliquanto quam in altera oratione probabilius est. In fine pauca deesse videntur.

www.libtool.com.cn

---

*) § 5 *μὴ τῶν παρ' ἐμοῦ λόγων ἀκούειν ζητήσητε κτέ.* — 7 *ἐὰν δ' ἕκαστος ἡμῶν βραχέα εἰπὼν καταβῇ*: quid igitur prior ille orator, si fuit, fecerat? omniane copiose explicaverat? cur igitur hic noster id non urget? an breviter perstrinxerat? at id si sumimus, omnem nobis ipsi causam eripimus cur hanc orationem *δευτερολογίαν* putemus. Cf. etiam 8 sqq.

**) Cf. § 14 cum explicatione Meieri (Allg. Litteraturztg. 1843 p. 465 sq.).

***) Teste eadem epistula Demosthenica tertia (§ 32).

www.libtool.com.cn

# 1.
# ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

pag. Steph. 90

Ὁ μὲν δημαγωγὸς ὑμῖν, ὦ Ἀθηναῖοι, καὶ θανά-
του τετιμημένος ἑαυτῷ ἐὰν ἐξελεγχθῇ ὁτιοῦν εἰλη-
φὼς παρ' Ἁρπάλου, οὗτος φανερῶς ἐξελήλεγκται
δῶρα εἰληφὼς παρὰ τούτων οἷς ἐναντία πράττειν
ἔφη τὸν ἄλλον χρόνον. πολλῶν δ' ὑπὸ Στρατοκλέους
εἰρημένων καὶ τῶν πλείστων προκατειλημμένων κα-
τηγορημάτων, καὶ περὶ μὲν αὐτῆς τῆς ἀποφάσεως
τῆς ἐξ Ἀρείου πάγου βουλῆς δικαίας καὶ ἀληθεῖς
ἀποδείξεις εἰρηκυίας, περὶ δὲ τῶν ἀκολούθων τού-
τοις Στρατοκλέους εἰρηκότος καὶ τὰ ψηφίσματα ἀνε-
γνωκότος ἤδη τὰ περὶ τούτων, ὑπόλοιπον ἡμῖν, ὦ 2
Ἀθηναῖοι, καὶ ταῦτ' ἀγωνιζομένοις ἀγῶνα τηλικοῦ-
τον ἡλίκος οὐδὲ πώποτε γέγονε τῇ πόλει, κοινῇ πᾶσιν
ὑμῖν παρακελεύεσθαι, πρῶτον μὲν τοῖς λοιποῖς ἡμῖν
συγγνώμην ἔχειν, ἂν τῶν αὐτῶν ἐνίοις περιπίπτωμεν
— οὐ γὰρ ἵνα ἐνοχλῶμεν ὑμᾶς, ἀλλ' ἵνα μᾶλλον
ὀργίζησθε παροξυνόμενοι, δὶς περὶ τῶν αὐτῶν ἐροῦ-

ΔΗΜ.ΝΟΥΣ A pr. corr.².

1. Verba ὁ μὲν δημ. ὑμῖν ut initium orationis affert Dionys. Dinarch. c. 10. — ὑμῶν Taylor, sed cf. § 53; Aesch. 3, 73 (Mr.). — καὶ θανάτου] ὁ θαν. Kl. — ἐὰν rec. N. (ci. Wolf. Tayl.): ἵνα (ἣν cum Steph. Bk.).

2. malim cum Hi. γέγονεν ἐν τῇ πόλει. — τοῖς λοιποῖς ἡμῖν N Mr.: ἡμῖν τοῖς λοιποῖς. — μᾶλλον ὀργίζησθε N Mr.: ὀργ. μᾶλλον. — παροξυνομ.. pr. A corr.²; παροξυνώμενοι N num igitur ἵνα μᾶλλον [ὀργ.] παροξύνωμεν?

μεν —, ἔπειτα μὴ προΐεσθαι τὰ κοινα τῆς πόλεως
ἁπάσης δίκαια, μηδὲ τὴν κοινὴν σωτηρίαν ἀντικατ-
3 αλλάξασθαι τῶν τοῦ κρινομένου λόγων. ὁρᾶτε γάρ,
ὦ Ἀθηναῖοι, ὅτι παρὰ μὲν ὑμῖν Δημοσθένης οὑτοσὶ
www.libtool.com.cn
κρίνεται, παρὰ δὲ τοῖς ἄλλοις ὑμεῖς· οἳ σκοποῦσι
τίνα ποτὲ γνώμην ἕξετε περὶ τῶν τῇ πατρίδι συμφε-
ρόντων, καὶ πότερον τὰς ἰδίας τούτων δωροδοκίας
καὶ πονηρίας ἀναδέξεσθε εἰς ὑμᾶς αὐτούς, ἢ φανε-
ρὸν πᾶσιν ἀνθρώποις ποιήσετε διότι μισεῖτε τοὺς
κατὰ τῆς πολιτείας δῶρα λαμβάνοντας, καὶ οὐχ ἵν'
ἀφῆτε ζητεῖν προσετάξατε τῇ ἐξ Ἀρείου πάγου βου-
λῇ, ἀλλ' ἵνα ἀποφηνάντων τούτων ὑμεῖς τιμωρή-
4 σησθε τῶν ἀδικημάτων ἀξίως. νυνὶ τοίνυν τοῦτο
ἐφ' ὑμῖν ἐστι. ψηφισαμένου γὰρ τοῦ δήμου δίκαιον
ψήφισμα, καὶ πάντων τῶν πολιτῶν βουλομένων εὑ-
ρεῖν τίνες εἰσὶ τῶν ῥητόρων οἱ τολμήσαντες ἐπὶ δια-
βολῇ καὶ κινδύνῳ τῆς πόλεως χρήματα παρὰ Ἁρπά-
λου λαβεῖν, καὶ πρὸς τούτοις ψηφίσματα γράψαντος
ὦ Δημόσθενες σοῦ (κατὰ σαυτοῦ) καὶ ἑτέρων πολ-
λῶν, ζητεῖν τὴν βουλὴν περὶ αὐτῶν, ὡς αὐτῇ πάτριόν
ἐστιν, εἴ τινες εἰλήφασι παρὰ Ἁρπάλου χρυσίον,
5 ζητεῖ ἡ βουλή, οὐκ ἐκ τῶν προκλήσεων μαθοῦσα τὸ
δίκαιον, οὐδὲ τὴν ἀλήθειαν καὶ τὴν πίστιν τὴν πα-
τρίαν αὑτῆς ἐπὶ σοῦ καταλῦσαι βουλομένη, ἀλλ' ὅπερ
καὶ αὐτοὶ οἱ Ἀρεοπαγῖται εἶπον, προορῶσα (μὲν) ἡ

3. ἀναδέξεσθε ci. Steph.: ἀναδέχεσθε.
4. ψηφίσματα ci. Dobr.: ψήφισμά N sec. Thurl., ψή-φισμα N[m] et cum eodem Dobr. Mr., ψήφισμά τι v. Cf. § 82 sqq.
5. ἐζήτει susp. Bait. — num ἐκ τῶν (σῶν) προκλ.? cf. autem 6 et Hyp. I, col. 7. 28. — πατρίαν scripsi: περὶ. — αὑτῆς Bk.: αὐτῆς. — μὲν addi iubet R. —

βουλὴ ὦ ἄνδρες τὴν τούτων ἰσχὺν καὶ τὴν ἐν τῷ λέγειν καὶ πράττειν δύναμιν, οὐκ οἰομένη δὲ δεῖν οὐδεμίαν ὑπολογίζεσθαι τῶν περὶ αὑτῆς ἐσομένων βλασφημιῶν, εἴ τις μέλλει τῇ πατρίδι αὐτῇ αἰτία
μοχθηρὰ καὶ κίνδυνος ἔσεσθαι. τούτων, ὡς ἐδόκει 6
www.libtool.com.cn
τῷ δήμῳ, καλῶς καὶ συμφερόντως πεπραγμένων αἰτίαι νῦν καὶ προκλήσεις καὶ συκοφαντίαι παρὰ Δημοσθένους ἥκουσιν, ἐπειδὴ οὗτος ἀποπέφανται εἴκοσι τάλαντα ἔχων χρυσίου· καὶ ἡ τῶν ἐκ προνοίας φόνων ἀξιόπιστος οὖσα βουλὴ τὸ δίκαιον καὶ τἀληθὲς
εὑρεῖν, καὶ κυρία δικάσαι περί τε τοῦ | σώματος καὶ 91
τῆς οὐσίας ἑκάστου τῶν πολιτῶν, καὶ τοῖς μὲν βιαίῳ θανάτῳ τετελευτηκόσι βοηθῆσαι, τοὺς δὲ παράνομόν τι τῶν ἐν τῇ πόλει διαπεπραγμένους ἐκβαλεῖν ἢ θανάτῳ ζημιῶσαι, νῦν ἐπὶ τοῖς κατὰ Δημοσθένους ἀποπεφασμένοις χρήμασιν ἄκυρος ἔσται τοῦ δικαίου;

Ναί· κατέψευσται γὰρ ἡ βουλὴ Δημοσθένους· 7
τουτὶ γάρ ἐστιν ὑπερβολὴ τοῦ πράγματος. σοῦ κατέψευσται καὶ Δημάδου; καθ' ὧν οὐδὲ τἀληθὲς εἰπεῖν, ὡς ἔοικεν, ἀσφαλές ἐστιν; οἳ πολλὰ πρότερον τῶν κοινῶν ἐκείνῃ ζητεῖν προσετάξατε καὶ διὰ τὰς γενομένας ζητήσεις ἐπῃνέσατε; οὓς δ' ἡ πόλις ἅπασα οὐ δύναται ἀναγκάζειν τὰ δίκαια ποιεῖν, κατὰ τούτων ἡ βουλὴ ψευδεῖς ἀποφάσεις πεποίηται; ὦ Ἡρά-

ἡ βουλὴ abesse malim. — περὶ αὑτῆς Bk.: περὶ αὐτῆς. — αὐτῇ Bait.: αὐτῆς (αὐτοῖς cum BL Bk. Mr.).

6. τἀληθὲς scripsi coll. § 11, 54: ἀληθὲς. — περί τε scripsi: τε περὶ. — οὐσίας scripsi: ψυχῆς, quod om. N. — ἐκβάλλειν pr. A.

7. ζητεῖν] σφαλερῶς N. — ἐπῃνέσατε] ἀπηλάξατε N. — ἀναγκάζειν N Mr.: ἀναγκάσαι. — ψευδεῖς τὰς ἀποφάσεις N Mr.

8 κλεις. διὰ τί οὖν ἐν τῷ δήμῳ συνεχώρεις, ὦ Δημό-
σθενες, ἐὰν ἀποφήνῃ (κατὰ) σοῦ ἡ βουλή, θάνατον
ἑαυτῷ τὴν ζημίαν; καὶ διὰ τί πολλοὺς ἀνῄρηκας σὺ
ταῖς τῆς βουλῆς ἰσχυριζόμενος ἀποφάσεσιν; ἢ ποῖ
www.libtool.com.cn
νῦν ἐλθὼν ὁ δῆμος ἢ τίσι προστάξας ζητεῖν περὶ
τῶν ἀφανῶν καὶ μεγάλων ἀδικημάτων εὕρῃ τὴν ἀλή-
9 θειαν; τὸ μὲν γὰρ συνέδριον τὸ πρότερον εἶναι δο-
κοῦν πιστὸν σὺ καταλύεις ὁ δημοτικὸς εἶναι φάσκων,
ᾧ τὴν τῶν σωμάτων φυλακὴν ὁ δῆμος παρακατα-
θήκην ἔδωκεν, ᾧ τὴν πολιτείαν καὶ δημοκρατίαν
πολλάκις ἐγκεχείρικεν, ὃ διαπεφύλαχε τὸ σὸν σῶμα
τοῦ βλασφημεῖν περὶ αὐτοῦ μέλλοντος πολλάκις, ὡς
σὺ φῄς, ἐπιβουλευθέν, ὃ φυλάττει τὰς ἀπορρήτους
θήκας, ἐν αἷς τὰ τῆς πόλεως σωτήρια κεῖται.

10 Δίκαια μὲν οὖν, δίκαια τρόπον γέ τινα πάσχει
τὸ συνέδριον· εἰρήσεται γὰρ ἃ γινώσκω. δυοῖν γὰρ
θάτερον ἐχρῆν αὐτούς, ἢ καὶ τὴν προτέραν ζήτησιν
τὴν ὑπὲρ τῶν τριακοσίων ταλάντων τῶν παρὰ τοῦ
Περσῶν βασιλέως ἀφικομένων ζητεῖν, καθάπερ συν-
έταξεν ὁ δῆμος, ἵνα τότε δόντος δίκην τοῦ θηρίου
τούτου, καὶ τῶν μερισαμένων ἐκεῖνα τὰ χρήματα φα-
νερῶν γενομένων, καὶ τῆς περὶ Θηβαίους προδοσίας
ἐξελεγχθείσης ἣν οὗτος προδέδωκεν, ἀπηλλάγμεθα
11 τούτου τοῦ δημαγωγοῦ δίκην ἀξίαν δόντος· ἢ εἰ

8. ἐν τῷ δήμῳ] ἐν τῷ τότε N (ἐν τῷ δήμῳ τότε susp. Mr.). — (κατὰ) σοῦ ci. Wolf. Emp.: σου. — σαυτῷ Kl. — ποῖ R.: ποῦ (quod retin. Mr.).

9. εἶναι δοκοῦν N Mr.: δοκοῦν εἶναι. — ἐγκεχείρικεν A corr.: ἐγκεχείρηκεν. — ὃ διαπεφύλαχε cum Wolf. R.: ὃ διαπεφύλακε N[m], ᾧ διαπεφύλακε v. — ὃ φυλάττει N Wolf. R.: ᾧ φυλ. — θήκας ci. Wolf.: διαθήκας v., ἀποθήκας N Mr.

10. προσέταξεν Bait., quod mal. etiam Mr.

ταῦθ' ὑμεῖς ἐβούλεσθε Δημοσθένει συγχωρεῖν καὶ
πολλοὺς ἐν τῇ πόλει τοὺς καθ' ὑμῶν δωροδοκήσον-
τας εἶναι, τὴν περὶ τῶν νῦν ἀποπεφασμένων ζήτησιν
χρημάτων μὴ προσδέχεσθαι, πεῖραν ὑμῶν ἐν τοῖς
πρότερον εἰληφότας· ὅπου γε οὕτω καλῶς καὶ δι-
καίως τῆς ἀποφάσεως τῆς κατὰ τούτου καὶ τῶν ἄλ-
λων νυνὶ γεγενημένης, καὶ τῆς ἐξ Ἀρείου πάγου
βουλῆς οὔτε τὴν Δημοσθένους οὔτε τὴν Δημάδου
δύναμιν ὑποστειλαμένης, ἀλλὰ τὸ δίκαιον αὐτὸ καὶ
τἀληθὲς προὐργιαίτερον πεποιημένης, οὐδὲν ἧττον 12
περιέρχεται Δημοσθένης περί τε τῆς βουλῆς βλασφη-
μῶν καὶ περὶ ἑαυτοῦ λέγων οἷσπερ ἴσως καὶ πρὸς
ὑμᾶς αὐτίκα χρήσεται λόγοις ἐξαπατῶν ὑμᾶς, ὡς
„ἐγὼ Θηβαίους ὑμῖν ἐποίησα συμμάχους." οὔκ, ἀλλὰ
τὸ κοινῇ συμφέρον ἀμφοτέραις ἐλυμήνω ταῖς πόλε-
σιν, ὦ Δημόσθενες. „ἐγὼ παρέταξα πάντας εἰς Χαι-
ρώνειαν." οὔκ, ἀλλὰ ἔλιπες μόνος αὐτὸς τὴν ἐκεῖ
τάξιν. „ἐγὼ πολλὰς ὑπὲρ ὑμῶν ἐπρέσβευσα πρε-
σβείας." ἐφ' οἷς οὐκ οἶδ' ὅ τί ποτ' ἂν ἐποίησεν ἢ 13
τίνας ἂν εἶπε λόγους, εἰ συνέβη κατορθῶσαι αὐτῷ
ἃ συνεβούλευσεν, ὃς ἐπὶ τοῖς τοιούτοις ἀτυχήμασι
καὶ κακοῖς ἅπασαν ἐπεληλυθὼς τὴν οἰκουμένην ὅμως
ἀξιοῖ δωρεὰς αὑτῷ δεδόσθαι τὰς μεγίστας, λαμβά-
νειν δῶρα κατὰ τῆς πατρίδος καὶ λέγειν καὶ πράτ-

www.libtool.com.cn

11. δωροδοκήσαντας pr. A et Z. — προσδέχεσθαι] ἀποδέχεσθαι pr. A, corr. a pr. m. — ὅπου γε Ald.: ὅπου γὰρ codd. (quod def. Wm.).

12. οἷσπερ ἴσως R.: οἷς περισσῶς.

13. ἐφ' αἷς R Fr. — ἐποίησεν NA Bk.: ἐποίει. — κατορθ. αὑτῷ Bk. Schm. cum codd. praeter N. — ὃς Tayl. R.: ὁ. — malim τοσούτοις. — αὑτῷ δεδ. Bk.: αὐτῷ δεδ. — κατὰ . . . τῆς A. — malim πράττειν (ἐξεῖναι).

14 τειν κατα τοῦ δήμου ἃ ἂν βούληται. καὶ Τιμοθέῳ
μέν, ὦ Ἀθηναῖοι, Πελοπόννησον περιπλεύσαντι καὶ
τὴν ἐν Κερκύρᾳ ναυμαχίαν νικήσαντι Λακεδαιμο-
νίους καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθε-
ρώσαντος καὶ Σάμον λαβόντι καὶ Μεθώνην καὶ
Πύδναν καὶ Ποτίδαιαν καὶ πρὸς ταύταις ἑτέρας εἴ-
κοσι πόλεις, οὐκ ἐποιήσασθε ὑπόλογον, οὐδὲ τῆς τότε
ἐνεστώσης κρίσεως οὐδὲ τῶν ὅρκων, οὓς ὀμωμοκότες
92 ἐφέρετε τὴν ψῆφον, ¦ ἀντικατηλλάξασθε τὰς τοιαύ-
τας εὐεργεσίας, ἀλλ᾽ ἑκατὸν ταλάντων ἐτιμήσατε, ὅτι
χρήματ᾽ αὐτὸν Ἀριστοφῶν ἔφη παρὰ Χίων εἰληφέναι
15 καὶ Ῥοδίων· τὸν δὲ κατάπτυστον τοῦτον καὶ Σκύ-
θην — ἐξάγομαι γάρ —, ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ
πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα ἀποπέ-
φαγκε χρήματα ἔχειν καθ᾽ ὑμῶν, καὶ ὃς ἀποπέφανται
μισθαρνῶν καὶ δωροδοκῶν κατὰ τῆς πόλεως καὶ
ταῦτα ἐξελήλεγκται, τοῦτον οὐ τιμωρησάμενοι παρά-
δειγμα ποιήσετε τοῖς ἄλλοις; ὃς οὐκ ἐκ τῶν βασιλι-
κῶν μόνον εἰληφὼς χρυσίον φανερός ἐστιν, ἀλλὰ
καὶ ἐξ αὐτῆς τῆς πόλεως κεχρηματισμένος· ὁ νῦν
οὐδὲ τῶν ὑπὸ Ἁρπάλου κομισθέντων χρημάτων εἰς
16 τὴν πόλιν ἀποσχόμενος. καίτοι τί μέρος ἐστὶ τῶν
ὑπὸ Τιμοθέου πεπραγμένων ἀγαθῶν ἃς Δημοσθένης
ἐπρέσβευσεν εἰς Θήβας πρεσβείας; ἢ τίς οὐκ ἂν κα-

www.libtool.com.cn

14. cf. or. 3, 17. — *Λακεδαιμ. νικήσαντι* or. 3. — *λαβόντι* S. Turr. (ita N et pr. A or. 3): *λαβόντος*. — *οὐκ*] *οὐδὲν τούτων* or. 3, et hic quoque Mr. *οὐδὲν* mavult. — *οὐδὲ τῶν ὅ.*] *καὶ τῶν ὅ.* or. 3. — *φέρετε* in or. 3 NAB. — *ἀντικαταλλάξασθαι* codd. — *αὐτὸν Ἀριστοφῶν* Gruter. Dobr. Turr. coll. or. 3: *αὐτός*.

15. *ἀλλ᾽ ἅπασα* mal. Wm. — *ἀποπέφαγκεν* N[m]. — *καὶ ὃς*] *καὶ ὡς* pr. A[d]. — *μόνος* AZ. — *ὁ νῦν*] *καὶ νῦν* mal. Mr.

*ταγελάσειεν ὑμῶν τῶν τοῦτο τολμώντων ἀκούειν, ἀντιθεὶς ἐφ' αἷς οὗτος σεμνύνεται πράξεσιν ἐκείνας ἃς Τιμόθεος ὑμᾶς καὶ Κόνων εὐεργέτησαν; ἀλλὰ γὰρ οὐ πρὸς τοῦτο τὸ κάθαρμα παραβάλλειν δεῖ τοὺς ἄξια καὶ τῆς πόλεως καὶ τῶν προγόνων ὑπὲρ ὑμῶν πράξαντας. παρασχόμενος οὖν τὸ ψήφισμα τὸ Τιμοθέῳ γενόμενον πάλιν ἐπὶ τοὺς περὶ τούτου λόγους βαδιοῦμαι. Λέγε.*

www.libtool.com.cn

ΨΗΦΙΣΜΑ.

*Ὁ τοιοῦτος ὦ Δημόσθενες πολίτης, ὃς δικαίως* 17
*ἂν καὶ συγγνώμης καὶ χάριτος ἐτύγχανε παρὰ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμπεπολιτευμένων, οὐ λόγοις ἀλλ' ἔργοις μεγάλα τὴν πόλιν ἀγαθὰ ποιήσας, καὶ διαμείνας ἐπὶ τῆς (αὐτῆς) πολιτείας καὶ οὐκ ἄνω καὶ κάτω μεταβαλόμενος ὥσπερ σύ, ἐτελεύτησεν οὐ τηλικαύτας τὸν δῆμον αἰτήσας δωρεὰς ὥστε τῶν νόμων εἶναι κρείττων, οὐδ' οἰόμενος δεῖν τοὺς ὀμωμοκότας κατὰ τοὺς νόμους οἴσειν τὴν ψῆφον ἄλλο τι προυργιαίτερον ποιεῖσθαι τῆς εὐσεβείας, ἀλλ' ὑπομένων κατακρίνεσθαι, εἰ δόξειε τοῖς δικασταῖς, καὶ οὐ καιροὺς λέγων, οὐδ' ἕτερα φρονῶν καὶ δημηγορῶν.*

*Οὐκ ἀποκτενεῖτε, ἄνδρες Ἀθηναῖοι, τὸν μιαρὸν* 18

16. *τοῦτο*] *τούτου* ci. R. — *πράξεις* pr. A. — *εὐεργέτησαν* NᵐABL Bk.: *εὐηργ.* — *οὐ*] *ὁ* Nᵐ. — ΨΗΦΙΣΜΑ om. AᵈM.

17. *ὦ*] *ὁ* A. — *συμπεπολιτευμένων* N Fr.: *συμπολιτευομένων.* — *ἐπὶ τῆς (αὐτῆς) πολιτείας* Cb. — *μεταβαλόμενος* cum R. Turr.: *μεταβαλομένους* Aᵈ pr.; *μεταβαλλόμενος* v. — *ὠμωμοκότας* A pr. corr.². — vv. *ἀλλο-εὐσεβείας* add. N et corr.² (?) A Bk. — *πουργιαίτερον* pr. N. — *κατακρίνεσθαι* cum Wolf. Turr.: *καὶ κρίνεσθαι.* — *καιροὺς λέγων*] cf. § 31.

18. *ἄνδρες* NᵐAB Turr.: *ὦ ἄνδρες.* cf. §§ 27. 29. 41. 64. 95. 107.

τοῦτον ἄνθρωπον, ὃς πρὸς ἑτέροις πολλοῖς καὶ μεγά-
λοις ἁμαρτήμασι καὶ τὴν Θηβαίων πόλιν περιεῖδεν
ἀνάστατον γενομένην, τριακόσια τάλαντα λαβὼν εἰς
τὴν ἐκείνων σωτηρίαν παρὰ τοῦ Περσῶν βασιλέως,
καὶ Ἀρκάδων ἡκόντων εἰς Ἰσθμὸν καὶ τὴν μὲν παρὰ
Ἀντιπάτρου πρεσβείαν ἄπρακτον ἀποστειλάντων, τὴν
δὲ παρὰ Θηβαίων τῶν ταλαιπώρων προσδεξαμένων,
οἳ κατὰ θάλατταν μόλις ἀφίκοντο πρὸς ἐκείνους, ἱκε-
τηρίαν ἔχοντες καὶ κηρύκεια [συμπεπλεγμένα, ὡς
19 ἔφασαν, ἐκ τῶν θαλλῶν], ἐροῦντες τοῖς Ἀρκάσιν ὅτι
οὐ τὴν πρὸς τοὺς Ἕλληνας φιλίαν Θηβαῖοι διαλῦσαι
βουλόμενοι τοῖς πράγμασιν ἐπανέστησαν, οὐδ᾽ ἐναν-
τίον τῶν Ἑλλήνων οὐδὲν πράξοντες, ἀλλὰ τὰ παρ᾽
αὐτοῖς ὑπὸ τῶν Μακεδόνων ἐν τῇ πόλει γινόμενα
φέρειν οὐκέτι δυνάμενοι, οὐδὲ τὴν δουλείαν ὑπομέ-
νειν, οὐδὲ τὰς ὕβρεις ὁρᾶν τὰς εἰς τὰ ἐλεύθερα σώ-
20 ματα γινομένας, — οἷς ἑτοίμων γενομένων τῶν
Ἀρκάδων βοηθεῖν, καὶ ἐλεησάντων ἐν οἷς ἦσαν κα-
κοῖς, καὶ φανερὸν ποιησάντων ὅτι τοῖς μὲν σώμασι
μετὰ Ἀλεξάνδρου διὰ τοὺς καιροὺς ἀκολουθεῖν ἠναγ-
κάζοντο, ταῖς δ᾽ εὐνοίαις μετὰ Θηβαίων καὶ τῆς τῶν
Ἑλλήνων ἐλευθερίας ἦσαν, καὶ τοῦ στρατηγοῦ αὐτῶν
Ἀστύλου ὠνίου ὄντος, ὥσπερ καὶ Στρατοκλῆς εἶπε,
καὶ δέκα τάλαντα αἰτοῦντος ὥστε ἀγαγεῖν τὴν βοή-

*κηρύκεια* N Mr.: *κηρύκια*. — vv. *συμπεπλ.* — *θαλλῶν* cum S. (Ep. cr. p. 132) del. Mr.

19. *τοὺς* ante *Ἑλλ.* add. NA Bk. — *παρ᾽ αὐτοῖς* Bk.: *παρ᾽ αὑτοῖς*. — *γινόμενα* ZM Bk.: *γενόμενα*. — *ὁρᾶν τὰς* Bk.: *ὁρῶν τὰς* N[m]; *ὁρῶντες* v.

20. *ἐν οἷς ἦσαν* NA Bk.: *ἐν οἷς ἤκουσαν* (*ἐν οἵοις ἦσαν* susp. Mr.). — vv. *τοῖς μὲν σώμασι* — *ἦσαν* ex Isocrate expressa: v. Plat. 15. — *τῆς τῶν*] *ταῖς τῶν* pr. A corr.[2].

θειαν τοῖς Θηβαίοις, καὶ τῶν πρεσβευτῶν ὡς τοῦτον
ἐλθόντων, ὃν ᾔδεσαν ἔχοντα τὸ βασιλικὸν χρυσίον,
καὶ δεομένων καὶ ἱκετευόντων δοῦναι τὰ χρήματα
εἰς τὴν τῆς πόλεως σωτηρίαν, οὐκ ἐτόλμησεν ὁ μια- 21
ρὸς οὗτος καὶ ἀσεβὴς καὶ αἰσχροκερδὴς ἀπὸ τῶν
www.libtool.com.cn
πολλῶν χρημάτων ὧν εἶχε δέκα μόνον τάλαντα δοῦ-
ναι, τοσαύτας ὁρῶν ἐλπίδας ὑποφαινούσας εἰς τὴν
Θηβαίων σωτηρίαν, ἀλλὰ περιεῖδεν ἑτέρους δόντας
τοῦτο τὸ ἀργύριον, ὥσπερ καὶ Στρατοκλῆς εἶπεν,
ὑπὲρ τοῦ πάλιν ἀπελθεῖν οἴκαδε τοὺς ἐξεληλυθότας
Ἀρκάδων καὶ μὴ βοηθῆσαι τοῖς Θηβαίοις. | Ἆρ' 22
ὑμῖν δοκεῖ μικρῶν κακῶν ἢ τῶν τυχόντων ὅλῃ τῇ 93
Ἑλλάδι αἴτιος γεγενῆσθαι Δημοσθένης καὶ ἡ τούτου
φιλαργυρία; ἢ προσήκειν αὐτὸν ὑφ' ὑμῶν ἐλέου τινὸς
τυγχάνειν τοιαῦτα διαπεπραγμένον, ἀλλ' οὐ τῆς
ἐσχάτης τιμωρίας καὶ ὑπὲρ τῶν νῦν καὶ ὑπὲρ τῶν
πρότερον γεγενημένων ἀδικημάτων; ἀκούσονται τὴν
κρίσιν, ὦ Ἀθηναῖοι, τὴν ὑφ' ὑμῶν ἐν τῇ τήμερον
ἡμέρᾳ γεγενημένην πάντες ἄνθρωποι· θεωρήσουσιν
ὑμᾶς τοὺς κρίνοντας, ὅπως χρῆσθε τῷ τὰ τοιαῦτα
διαπεπραγμένῳ. ὑμεῖς ἔσθ' οἱ διὰ πολλῷ τῶν ὑπὸ 23
τούτου πεπραγμένων ἀδικημάτων ἐλάττω μεγάλας
καὶ ἀπαραιτήτους ἐνίοις ἐπιτεθεικότες τιμωρίας.
ὑμεῖς Μένωνα μὲν τὸν μυλωθρὸν ἀπεκτείνατε, διότι
παῖδα ἐλεύθερον ἐκ Πελλήνης ἔσχεν ἐν τῷ μυλῶνι·
Θεμίστιον δὲ τὸν Ἀφιδναῖον, διότι τὴν Ῥοδίαν κι-

22. φιλαργυρία] φυλαρχία ded. vid. pr. $A^d$. — καὶ ὑπὲρ τῶν νῦν om. N. — malim κέχρησθε.

23. πολλῶν ZM et pr. A. — μυλωθρὸν] cf. Harp. s. v. (Δείναρχος ἐν τῷ κατὰ Δημ. πολλάκις, ubi κατὰ Καλλισθ. cum Mauss. Mr.; cf. lect. codd. BCG). — μυλῶνι S. Turr.: μύλωνι. — ἀφνιδναῖον pr. $A^d$.

θαρίστριαν ὕβρισεν Ἐλευσινίοις, θανάτῳ ἐζημιώσατε, Εὐθύμαχον δέ, διότι τὴν Ὀλυνθίαν παιδίσκην
24 ἔστησεν ἐπ' οἰκήματος. διὰ δὲ τοῦτον τὸν προδότην παῖδες καὶ γυναῖκες αἱ Θηβαίων ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διενεμήθησαν, πόλις ἀστυγείτων καὶ σύμμαχος ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ τῶν κοινωνησάντων ὑμῖν τοῦ πρὸς Φίλιππον πολέμου. ἀροῦται, φημί, καὶ σπείρεται· καὶ οὐκ ἠλέησε, φημί, ὁ μιαρὸς οὗτος πόλιν οὕτως οἰκτρῶς ἀπολλυμένην, εἰς ἣν ἐπρέσβευσεν ὑφ' ὑμῶν ἀποσταλείς, ἧς ὁμόσπονδος καὶ ὁμοτράπεζος πολλάκις γέγονεν, ἣν αὐτός φησι σύμμαχον ὑμῖν ποιῆσαι, ἀλλὰ πρὸς οὓς εὐτυχοῦντας πολλάκις ἦλθε, τούτους ἀτυχοῦντας προδέδωκεν.
25 κἀκεῖνοι (μὲν), ὡς οἱ πρεσβύτεροι λέγουσι, καταλελυμένης τῆς δημοκρατίας τῆς παρ' ἡμῖν καὶ συνάγοντος ἐν Θήβαις Θρασυβούλου τοὺς φυγάδας ἐπὶ τὴν Φυλῆς κατάληψιν, καὶ Λακεδαιμονίων ἰσχυόντων καὶ ἀπαγορευόντων μηδένα Ἀθηναίων ὑποδέχεσθαι μηδ' ἐκπέμπειν, ὅμως συνέπραττον τῷ δήμῳ

24. *παῖδες καὶ γυν. — διενεμήθ.*] cf. Demosth. ap. Agatharch. Phot. Bibl. p. 447 a 32: *παῖδας δὲ καὶ γυναῖκας τῶν ἡγησαμένων τῆς Ἑλλάδος ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διένειμε.* — *πόλις ἀστ. — — ἀνήρπασται*] ex Aesch. 3, 133. — *ἀροῦται — — πολέμου*] Stratocli tribuit Agatharch. l. c. v. 19, ubi *τῶν συναγωνισαμένων ὑμῖν τὸν πρ. Φ. πόλεμον.* — *κοινωσάντων* A pr. — *ὑμῖν* NM Turr.: *ἡμῖν.* — *καὶ οὐκ ἠλέησεν, οὐκ ἠλέησε, φημί* ci. R. — *οὕτως οἰκτρ. ἀπ.* N Mr.: *οἰκτρ. οὕτως ἀπ.* Dobs. cum A^d^ corr.?; *οἰ. ἀπ. οὕτως* v. — *ἧς* cum Wolf. R.: *οἷς*, quod retin. Bk. Turr. Mr. — *ἐγεγόνει* W. — *ὑμῖν* NM Turr.: *ἡμῖν.* — in vv. *πολλάκις ἦλθε* non immerito offendit Kl., qui *πολλ. ἐλθὼν ἐκολάκευσε.* — *τούτοις* N.

25. *κἀκεῖνοι μὲν* ci. Bk. — *ἐπὶ* Bk.: *ἔτι* pr. N ABLZM, *διά τε* rc. N, *ἐς* v. — *ἰσχυόντων* cum Wolf. R.: *ἰσχόντων.* —

www.libtool.com.cn

τὴν κάθοδον καὶ τὸ πολλάκις ἀνεγνωσμένον παρ' ὑμῖν ἐψηφίσαντο ψήφισμα, μὴ [περι]ορᾶν ἐάν τις ὅπλα διὰ τῆς χώρας [τῆς] Ἀθηναίων ἔχων πορεύηται· οὗτος δὲ ὁ κοινὸν αὑτὸν τοῖς συμμάχοις, ὡς 26
αὐτίκα φήσει, παρέχων οὐδὲν τοιοῦτον ἔπραξεν, οὐδὲ τῶν χρημάτων ὧν ἔλαβεν εἰς τὴν τούτων σωτηρίαν οὐδὲν ἠθέλησε προέσθαι. ὧν ὑμεῖς ὦ ἄνδρες μνησθέντες, καὶ τὰ ἀτυχήματα τὰ γινόμενα διὰ τοὺς προδότας θεωρήσαντες ἐν ταῖς Ὀλυνθίων καὶ Θηβαίων συμφοραῖς, ὑπὲρ ὑμῶν αὐτῶν ὀρθῶς νυνὶ βουλεύεσθε, καὶ τοὺς δωροδοκεῖν ἐθέλοντας κατὰ τῆς πατρίδος ἀνελόντες ἐν ὑμῖν αὐτοῖς καὶ τοῖς θεοῖς τὰς ἐλπίδας τῆς σωτηρίας ἔχετε. μόνως γὰρ 27
οὕτως, ἄνδρες Ἀθηναῖοι, μόνως καὶ τοὺς ἄλλους ποιήσετε βελτίους, ἐὰν τοὺς ἐνδόξους τῶν πονηρῶν ἐξελέγξαντες κολάσητε τῶν ἀδικημάτων ἀξίως. τοὺς μὲν γὰρ τυχόντας τῶν κρινομένων, ὅταν ἁλῶσιν, οὐδεὶς οἶδεν οὐδὲ ζητεῖ πυθέσθαι τί πεπόνθασι· τοὺς δ' ἐνδόξους πάντες πυνθάνονται, καὶ τοὺς δικάζοντας ἐπαινοῦσιν, ὅταν τὸ δίκαιον μὴ πρόωνται ταῖς τῶν κρινομένων δόξαις. Ἀνάγνωθι τὸ ψήφισμα

www.libtool.com.cn

μὴ περιορᾶν codd.: coll. Plut. Pelop. 6 Lys. 27 μηδέν' ὁρᾶν Schneider, [μὴ] περιορᾶν S. Mr.; τῆς delent S. Mr. (τῆς Θηβαίων ci. R., τῆς αὐτῶν et ipsum ci. S.). Sed praeterea cum Schneidero et Fr. verba traicienda erunt: ἐάν τις Ἀθ. ὅπλα ἔχων διὰ τῆς χ. πορ.; nisi vero omnia haec (μὴ — πορ.) ut interpretamentum inducenda sunt. V. S. Ep. cr. p. 132.

26. φήσει cum Wolf. R.: φησί. — τὴν ante τούτων add. NA Bk. — προδόντας pr. A.

27. Cf. Lys. 14, 12. — ἄνδρες Ἀθ. N Mr.: ὦ ἄνδρες Ἀθ. cf. § 18. — ἐξελέγξαντες] fort. ἐκλέξαντες. — τῶν αδικημάτων N Mr. (ut est § 3; 2, 22): τῆς πονηρίας (quod exstat 3, 11). — ΨΗΦΙΣΜΑ post Θηβαίων, ΜΑΡΤΥΡΙΑΙ post μαρτυρίας transp. Schm.

τὸ Θηβαίων. λέγε τὰς μαρτυρίας. ἀναγίνωσκε τὰς
ἐπιστολάς.

ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ. ΕΠΙΣΤΟΛΑΙ.

www.libtool.com.cn

28 Μισθωτὸς οὗτος, ὦ Ἀθηναῖοι, μισθωτὸς οὗτός
ἐστι παλαιός. οὗτος ἦν ὁ τὴν πρεσβείαν τὴν παρὰ
Φιλίππου πορευομένην ὡς ἡμᾶς ἐκ Θηβῶν καλέσας,
καὶ τοῦ λυθῆναι τὸν πρῶτον πόλεμον αἴτιος γενό-
μενος· οὗτος Φιλοκράτει συναπελογεῖτο τῷ γρά-
ψαντι πρὸς Φίλιππον εἰρήνην, δι' ἣν ὑμεῖς ἐκεῖνον
ἐξεβάλετε, καὶ ζεύγη τοῖς πρέσβεσιν ἐμισθώσατο τοῖς
μετὰ Ἀντιπάτρου δεῦρ' ἐλθοῦσιν, ἀναλαμβάνων αὐ-
τοὺς καὶ τὸ κολακεύειν τοὺς Μακεδόνας πρῶτος εἰς
29 τὴν πόλιν εἰσάγων. μὴ ἀφῆτε, ἄνδρες Ἀθηναῖοι, μὴ
ἀφῆτε τὸν ἐπὶ τοῖς τῆς πόλεως καὶ τῶν ἄλλων Ἑλ-
94 λήνων | ἀτυχήμασιν ἐπιγεγραμμένον ἀτιμώρητον,
εἰλημμένον ἐπ' αὐτοφώρῳ δῶρα ἔχοντα κατὰ τῆς
πόλεως, μηδὲ τῆς ἀγαθῆς τύχης ὑμᾶς ἐπὶ τὸ βέλτιον
ἀγούσης, καὶ τὸν μὲν ἕτερον τῶν τὴν πατρίδα λελυ-
μασμένων ἐκ τῆς πόλεως ἐκβεβληκυίας, τοῦτον δ'
ὑμῖν ἀποκτεῖναι παραδούσης, αὐτοὶ τοῖς πᾶσι συμ-
φέρουσιν ἐναντιωθῆτε, ἀλλὰ μετοιωνίσασθε τὰς τῆς
πόλεως πράξεις, εἰς τούτους τοὺς ἡγεμόνας τὰς ἀτυ-
30 χίας τρέψαντες. εἰς ποῖον γὰρ καιρὸν ἀποθήσεσθε
τοῦτον ὑπολαβόντες χρήσιμον ὑμῖν αὐτοῖς ἔσεσθαι;

28. Φιλίππου N A[d] Bk.: τοῦ Φιλίππου M et v. ante Bk. cf. 74. 80. — ἐκκαλέσας A pr. — συναπελογεῖτο Wm. Mr. coll. Aesch. 3, 62; 2, 14: συνανελογεῖτο codd.; συνανεκοινολ. Ald. (συνεκοινολ. cum R. Bk., συνωμολ. Turr.).
29. ἄνδρες N Mr.: ὦ ἄνδρες. cf. § 18. — τοῖς τῆς NA R.: τῆς (τοῖς ZM). — ὑμᾶς S. Turr.: ἡμᾶς. — ἀτυχίας NM Mr.: ἀποτυχίας.

ἔχοι τις ἂν εἰπεῖν ἢ ὑμῶν ἢ τῶν περιεστηκότων, εἰς ποῖα οὗτος πράγματα εἰσελθὼν ἢ ἴδια ἢ κοινὰ οὐκ ἀνατέτραφεν; οὐκ εἰς μὲν τὴν Ἀριστάρχου οἰκίαν εἰσελθών, βουλεύσας μετ' ἐκείνου τὸν Νικοδήμῳ θάνατον κατασκευασθέντα, ὃν ἴστε πάντες, ἐξέβαλε τὸν Ἀρίσταρχον ἐπὶ ταῖς αἰσχίσταις αἰτίαις; καὶ τοιούτῳ φίλῳ Δημοσθένει ἐχρήσατο, ὥστε δαίμονα αὑτῷ τοῦτον καὶ τῶν γεγενημένων συμφορῶν ἡγεμόνα νομίσαι προσελθεῖν; οὐκ ἐπειδὴ τῷ δήμῳ συμβουλεύειν 31
ἤρξατο, ὡς μήποτε ὤφελεν — ἀφήσω γὰρ αὐτοῦ τὰ ἴδια· ὁ γὰρ χρόνος οὐκ ἐπιδέχεται μακρολογεῖν —, ἀγαθὸν μὲν ἁπλῶς εἰπεῖν οὐδὲν γέγονε τῇ πόλει, ἐν κινδύνοις δὲ καὶ κακοῖς καὶ ἀδοξίᾳ πᾶσα ἡ Ἑλλάς, οὐ μόνον ἡ πόλις, καθέστηκε; καὶ πλείστοις καιροῖς ἐν ταῖς δημηγορίαις χρώμενος ἅπαντας ἀφῆκε τοὺς ὑπὲρ ὑμῶν καιρούς; καὶ ἐν οἷς τις ἂν φιλόπολις ἀνὴρ καὶ κηδεμὼν τῆς πόλεως προείλετό τι πρᾶξαι, τοσοῦτον ἐδέησεν ὁ δημαγωγὸς καὶ χρήσιμος αὐτίκα φήσων ὑμῖν γεγενῆσθαι πρᾶξίν τινα προφέρειν, ὥστε καὶ τοὺς πράττοντας ὑπὲρ ὑμῶν τι τῆς αὑτοῦ τύχης ἀνέπλησεν. ἀπῆρε Χαρίδημος πρὸς τὸν Περσῶν βα- 32
σιλέα, χρήσιμος ὑμῖν οὐ λόγοις ἀλλ' ἔργοις βουλόμενος γενέσθαι, καὶ τοῖς ἰδίοις τοῖς ἑαυτοῦ κινδύνοις ὑμῖν καὶ τοῖς ἄλλοις Ἕλλησι βουλόμενος τὴν σωτηρίαν

www.libtool.cn

30 init. cf. Aesch. 3, 158. — ἔχει N^m. — εἰς μὲν τὴν Ἀριστ. κτἑ.] cf. Aesch. 2, 166.

31. ἐνδέχεται cum Wm. mal. Mr. — ἐν ante κινδ. om. N^m et pr. A. — ἀδοξίαις N Mr. πᾶσα om. N (quod prob. Fr.). — καιροῖς] cf. 17 extr. — καὶ ante ἐν οἷς om. N et pr. A corr.[2] Fr. — τῆς πόλεως add. N Mr. — ὑμῖν NLZM R.: ἡμῖν.

32. τὸν Περσῶν] τῶν Περσῶν N. — τοῖς ἰδίοις τοῖς ἑαυτοῦ] cf. Isocr. 4, 77; And. 3, 37. — ὑμῖν Wolf Bk.: ἡμῖν.—

*παρασκευάσαι· περιιὼν οὗτος κατὰ τὴν ἀγορὰν ἐλο-
γοποίει καὶ τῶν πραττομένων εἰσεποίει κοινωνὸν
αὑτόν· οὕτω κατέστρεψεν ἡ τύχη ταῦτα ὥστ' ἐναντία*
33 *γίγνεσθαι τοῖς προσδοκωμένοις. ἐξέπλευσεν Ἐφιάλ-
της μισῶν μὲν τοῦτον, ἀναγκαζόμενος δὲ τῶν πραγ-
μάτων κοινωνεῖν· ἀφείλετο καὶ τοῦτον ἡ τύχη τῆς
πόλεως. Εὐθύδικος προῃρεῖτο τὰς ὑπὲρ τοῦ δήμου
πράξεις· ἔφη τούτῳ Δημοσθένης φίλος εἶναι· (καὶ)
οὗτος ἀπώλετο. καὶ ταῦθ' ὑμεῖς ὁρῶντες καὶ ἐπι-
στάμενοι πολὺ βέλτιον ἢ ἐγὼ οὐ λογίζεσθε, οὐ σκο-
πεῖσθε πρὸς ὑμᾶς αὐτούς, τεκμαιρόμενοι τὰ μέλλοντα
ἐκ τῶν γεγενημένων, ὅτι οὐδὲν οὗτος χρήσιμος ἀλλ'*
34 *ἢ τοῖς ἐχθροῖς κατὰ τῆς πόλεως; . . . . . . συστῆσαι
παρασκευὴν ἑτέραν οἵα ἔναγχος ἐγένετο, ὅτε Λα-
κεδαιμόνιοι μὲν ἅπαντες ἐξεστράτευσαν, Ἀχαιοὶ δὲ
καὶ Ἠλεῖοι τῶν πραγμάτων ἐκοινώνουν, ὑπῆρχον δὲ
ξένοι μύριοι, Ἀλέξανδρος δέ, ὥς οἱ λέγοντες, ἐν Ἰν-
δοῖς ἦν, ἡ δὲ Ἑλλὰς ἅπασα διὰ τοὺς ἐν ἑκάστῃ τῶν
πόλεων προδότας ἀχθομένη τοῖς παροῦσι πράγμασιν
ἠσμένει μεταβολήν τινα τῶν παρεστηκότων κακῶν.*
35 *τί οὖν; ἐν τούτοις τοῖς καιροῖς Δημοσθένης τίς ἦν,
ὁ τοῦ συμβουλεῦσαι καὶ γράψαι κύριος καὶ φήσων
αὐτίκα δὴ μισεῖν τὰ καθεστηκότα πράγματα; ἐῶ γὰρ*

www.libtool.com.cn

*περιιὼν* NA et cum Wolf. R.: *περιὼν* B, *περὶ ὧν* v. — *ὥστ' ἐναντία* Bait. Turr.: *ὡς τἀναντία*.

33. (*καὶ*) *οὗτος* ci. R. — *πολὺ*] *πολλοὶ* pr. N.

34. Lacunam ante *συστῆσαι* statuit Mr., post *ἐγένετο* S. — *παρασκευὴν* N[m] Mr.: *κατασκευήν*. — *ἔναγχος* Cb.: *ἐπ' Αἰγὸς* (*ἐπ' Ἄγιδος* cum Wesseling. Mr.). cf. autem Aesch. 3, 165. — *ὥς οἱ ἄγχιστα* (immo *ἐγγύτατα*) *λέγοντες* Bait. coll. Isocr. 9, 28; *ὡς ἦσαν οἱ λέγ.* ci. R., *ὡς σὺ ἔλεγες* ci. Mr. — *τῶν παρεστ. κακῶν* NMr.: *τῶν κακῶν τῶν περιεστηκότων* (*παρεστ.* AB Turr.).

*τοὺς ἄλλους κινδύνους. ἔγραψάς τι περὶ τούτων [κινδύνων]; συνεβούλευσας; ἐπόρισας χρήματα; μικρόν τι χρήσιμος ἐγένου τοῖς ὑπὲρ τῆς κοινῆς σωτηρίας πράττουσιν; οὐδ' ὁτιοῦν, ἀλλὰ περιήεις κατασκευάζων λογοποιούς, καὶ παρ' αὑτῷ γράφων ἐπιστολήν, καὶ καταισχύνων τὴν τῆς πόλεως δόξαν, ἐκ τῶν δακτύλων ἀναψάμενος περιεπορεύετο, τρυφῶν* 36 *ἐν τοῖς τῆς πόλεως κακοῖς, καὶ ἐπὶ φορείου κατακομιζόμενος τὴν εἰς Πειραιᾶ ὁδόν, καὶ τὰς τῶν πενήτων ἀπορίας ὀνειδίζων. εἶθ' οὗτος εἰς τοὺς μέλλοντας ὑμῖν καιροὺς ἔσται χρήσιμος, παραβεβηκὼς ἅπαντας τοὺς παρεληλυθότας; τοιούτων, ὦ δέσποινα Ἀθηνᾶ καὶ Ζεῦ σῶτερ, συμβούλων καὶ ἡγεμόνων ὤφελον τυχεῖν οἱ πολεμήσαντες | τῇ πόλει, καὶ μη-* 95 *δεπώποτε βελτιόνων.*

www.libtool.com.cn

*Οὐκ ἀναμνήσεσθε ὦ ἄνδρες τὰς τῶν πρεσβυτέ-* 37 *ρων πράξεις, οἳ πολλῶν καὶ μεγάλων κινδύνων καταλαμβανόντων τὴν πόλιν ἀξίως τῆς πατρίδος καὶ τῆς ἑαυτῶν ἐλευθερίας καὶ τῆς δόξης τῆς δικαίας ὑπὲρ τῶν τοῦ δήμου συμφερόντων ἐκινδύνευσαν; ὧν τοὺς μὲν ἀρχαίους ἐκείνους μακρὸν ἂν εἴη λέγειν,*

35. *κινδύνους* del. Fr.; *καιρούς* mal. Mr. cf. Demad. § 11. — *τούτων* [*κινδ.*] ci. Bk. Fr.: *του τῶν κινδ.* (*τούτων τῶν κινδ.* Turr. cum Wm.; *τούτων τῶν καιρῶν* ci. Mr.). — *περιήει* Fr. — vv. *καὶ παρ' αὑτῷ γρ.* (*γεγραφὼς* ci. Mr.) *ἐπ.* post *δόξαν* transp. Mr. — *ἐπιστολάς* malim coll. Aesch. 3, 164: *τὰς ἐπιστολὰς ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιήεις.*

36. *περιεπορεύετο ....* Fr. — *φορίου* N. — *ὄφελον* N et pr. A corr.[2]. — *τῇ πόλει* ci. Steph. Wolf.: *τὴν πόλιν.* — *μηδεπώποτε* scripsi: *μηδέποτε.*

37. *πολλῶν καὶ μεγάλων* scripsi: *μεγάλων καὶ πολλῶν.* cf. ad § 109. — *δικαίας*] *οἰκείας* Markl., *παλαιᾶς* Bk., *ἀρχαίας* S., *ἰδίας* Mr. — *δήμου* N Mr.: *δημοσίου.* —

Ἀριστείδην καὶ Θεμιστοκλέα, τοὺς ὀρθώσαντας τὰ
τείχη τῆς πόλεως καὶ τοὺς φόρους εἰς ἀκρόπολιν
ἀνενεγκόντας παρ᾽ ἑκόντων καὶ βουλομένων τῶν
38 Ἑλλήνων, ἀλλὰ ταυτὶ τὰ μικρὸν πρὸ τῆς ἡμετέρας
www.libtool.com.cn
ἡλικίας γεγενημένα ὑπὸ Κεφάλου τοῦ ῥήτορος καὶ
Θράσωνος τοῦ Ἑρχιέως καὶ Ἠλείου καὶ Φορμισίου
καὶ ἑτέρων ἀνδρῶν ἀγαθῶν, ὧν ἐνίων ἔτι καὶ νῦν
ζῇ (καὶ) τὰ σώματα. τούτων γὰρ οἱ μὲν φρουρου-
μένης ὑπὸ Λακεδαιμονίων τῆς Καδμείας βοηθήσαν-
τες τοῖς εἰς Θήβας κατιοῦσι τῶν φυγάδων τοῖς
ἰδίοις κινδύνοις ἠλευθέρωσαν πόλιν ἀστυγείτονα
39 καὶ πολὺν χρόνον δουλεύουσαν, οἱ δὲ πείσαντες
ἐξελθεῖν ὑμῶν τοὺς προγόνους, Κεφάλου τὸ ψήφισμα
γράψαντος, ὃς οὐ καταπλαγεὶς τὴν Λακεδαιμονίων
δύναμιν, οὐδὲ λογισάμενος ὅτι τὸ κινδυνεύειν καὶ
τὸ γράφειν ὑπὲρ τῆς πόλεως ἐπισφαλές ἐστιν, ἔγρα-
ψεν ἐξιέναι βοηθήσοντας Ἀθηναίους τοῖς κατειλη-
φόσι τῶν φυγάδων Θήβας· καὶ ἐξελθόντων ἐκεῖσε
τῶν ὑμετέρων πατέρων ὀλίγαις ἡμέραις ἐξεβλήθη ὁ
Λακεδαιμονίων φρούραρχος, ἠλευθέρωντο Θηβαῖοι,
διεπέπρακτο ἡ πόλις ἡ ὑμετέρα ἄξια τῶν προγόνων.
40 ἐκεῖνοι ἦσαν, ἐκεῖνοι ὦ Ἀθηναῖοι ἄξιοι σύμβουλοι
καὶ ἡγεμόνες ὑμῶν καὶ τοῦ δήμου, μὰ Δί᾽ οὐ τὰ

mal. ἀνορθώσαντας.

38. Ἑρχιέως W.: Ἐρχιέως. — Ἠλείου cum R. Turr.: Ἡλιοῦ N, Ἡλίου v. — καὶ Φορμ. Bgk. Turr.: Φορμισίου (Φορμησίου N). — καὶ ante τὰ σωμ. addidi; cf. autem Aesch. 3, 138. — Καδμίας N.

39. τὸ ψήφ. Dobr. coll. Aesch. 3, 187; Din. 1 § 63: τοῦτου ψήφ. (τοῦτο τὸ ψ. ci. Bk.). — οὐ ante κατ. om. N. — τὸ κινδυν. om. mal. Wolf.; τὸ συμβουλεύειν Emp.; Dem. Chers. 68 cf. Mr. — τῶν ante φυγ. om. pr. A. — ἐκεῖσε NA Bk.: ἐκεῖ. — Λακεδ. N Fr.: τῶν Λακεδ. — ἠλευθέρωντο ci. Bk.: ἠλευθεροῦντο. — ἡμετέρα $N^m$, quod praefert Wm.

*τοιαῦτα κινάδη, οἳ πεποιήκασι μὲν οὐδὲν οὐδὲ πρά-
ξουσιν ἀγαθὸν ὑπὲρ τῆς πόλεως, τὴν δὲ αὑτῶν ἀσφά-
λειαν τηροῦντες καὶ πανταχόθεν ἀργυριζόμενοι καὶ
πεποιηκότες τὴν πόλιν ἀδοξοτέραν ἑαυτῶν, καὶ νῦν
εἰλημμένοι δῶρα καθ' ὑμῶν εἰληφότες, παρακρούονθ'
ὑμᾶς, καὶ ἀξιοῦσι τοιοῦτοι γεγενημένοι περὶ τῆς
ἑαυτῶν πλεονεξίας παραγγέλλειν· οὓς χρῆν τεθνάναι
πάλαι κατὰ τὸ ἑαυτῶν ψήφισμα, τοιαῦτα διαπεπραγ-
μένους.*

www.libtool.com.cn

*Οὐκ αἰσχύνεσθε, ἄνδρες Ἀθηναῖοι, τὴν κατὰ* 41
*Δημοσθένους τιμωρίαν ἐκ τῶν ἡμετέρων λόγων μό-
νων ἡγούμενοι δεῖν κρίνειν; οὐκ ἴστε τοῦτον αὐτοὶ
δωροδόκον ὄντα καὶ κλέπτην καὶ προδότην τῶν φί-
λων καὶ τῆς πόλεως ἀνάξιον καὶ αὐτὸν καὶ τὴν περὶ
τοῦτον τύχην γεγενημένην; ἀπὸ ποίων ψηφισμάτων
ἢ ποίων νόμων οὗτος οὐκ εἴληφεν ἀργύριον; εἰσί* 42
*τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς τριακοσίοις γε-
γενημένων, ὅθ' οὗτος ἐτίθει τὸν περὶ τῶν τριηράρχων
νόμον; οὐ φράσετε τοῖς πλησίον ὅτι τρία τάλαντα
λαβὼν μετέγραφε καὶ μετεσκεύαζε τὸν νόμον καθ'
ἑκάστην ἐκκλησίαν, καὶ τὰ μὲν ἐπώλει ὧν εἰλήφει
τὴν τιμήν, τὰ δ' ἀποδόμενος οὐκ ἐβεβαίου; εἴπατέ* 43
*μοι πρὸς Διός, ὦ ἄνδρες, προῖκα τοῦτον οἴεσθε
γράψαι Διφίλῳ τὴν ἐν πρυτανείῳ σίτησιν καὶ τὴν*

40. *τὰ* ante *τοιαῦτα* om. pr. A. — *πεποιήκασιν* N. — *πανταχόθεν* scr.: *πάντοθεν*. — *παρακρούονθ'* N: *παρακρούονται*. — *χρῆν* cum Bk. Dobr. Turr.: *χρή*. — *πάλαι κατὰ τὸ ἑ. ψ.* N Mr.: *κατὰ τὸ ἑ. ψ. πάλαι*.

41. *ἡμετέρων* A corr.[2]. — *μόνον* Ald. et v. ante Bk. — *τῶν φίλων* N Turr.: *φίλων*. — *ἢ ποίων νόμ. οὗτος* N Mr.: *οὗτος ἢ ποίων νόμων*.

43. *Διιφίλῳ* NABLZM. —

εἰς τὴν ἀγορὰν ἀνατεθησομένην εἰκόνα; ἢ τὸ ποιῆ-
σαι πολίτας ὑμῖν Χαιρέφιλον καὶ Φείδωνα καὶ
Πάμφιλον καὶ Φείδιππον, ἢ πάλιν Ἐπιγένην καὶ
Κόνωνα τοὺς τραπεζίτας; ἢ τὸ χαλκοῦς ἐν ἀγορᾷ
www.libtool.com.cn
στῆσαι Βιρισάδην καὶ Σάτυρον καὶ Γόργιππον τοὺς
ἐκ τοῦ Πόντου τυράννους, παρ' ὧν αὐτῷ χίλιοι μέ-
διμνοι τοῦ ἐνιαυτοῦ πυρῶν ἀποστέλλονται, τῷ οὐδ'
44 ὅποι καταφύγῃ αὐτίκα φήσοντι εἶναι; ἢ τὸ γράψαι
Ταυροσθένην Ἀθηναῖον εἶναι (τὸν) τοὺς μὲν αὐτοῦ
πολίτας καταδουλωσάμενον, τῆς δ' Εὐβοίας ὅλης μετὰ
τοῦ ἀδελφοῦ Καλλίου προδότην Φιλίππῳ γεγενημέ-
νον; ὃν οὐκ ἐῶσιν οἱ νόμοι τῆς Ἀθηναίων χώρας
ἐπιβαίνειν, εἰ δὲ μή, τοῖς αὐτοῖς ἔνοχον εἶναι κε-
λεύουσιν οἷσπερ ἄν τις τῶν φευγόντων ἐξ Ἀρείου
πάγου κατίῃ. καὶ τοῦτον οὗτος ὁ δημοτικὸς ὑμέτε-
45 ρον ἔγραψε πολίτην εἶναι. περὶ τούτων οὖν μάρτυ-
ρας ὑμῖν δεῖ καλεῖν, ἢ περὶ τῶν ἄλλων ὅσους οὗτος
γέγραφε προξένους εἶναι καὶ Ἀθηναίους; (ἆρ' οὖν),
96 πρὸς τῆς | Ἀθηνᾶς, οἴεσθε αὐτὸν ἀργύριον μὲν χαί-
ρειν λαμβάνοντα, χρυσίου δ' εἴκοσι τάλαντα οὐκ ἂν
λαβεῖν; ἢ κατὰ μικρὸν μὲν δωροδοκεῖν, ἀθρόον δ'
οὐκ ἂν προσδέξασθαι τοσοῦτον λῆμμα; ἢ τὴν ἐξ

ἀνατεθησομένην R. ci.: ἀναθησομένην. — ποιῆσαι πολ. ὑμῖν W.: ποι. π. ὑμᾶς (ποιήσασθαι πολ. ὑμᾶς Wm.). — Φείδιππον Bgk. Ep. ad Schill. p. 155 coll. Ath. IX p. 407 E: Φίλιππον. — ἢ πάλιν N[m]: καὶ πάλιν. — Βηρισάδην Ald.; vera scriptura est Παιρισάδης, cf. Boeckh. C. J. I p. 92. — ἐκ τοῦ Πόντου Bait. Turr.: ἐκ τούτων codd., ἐχθίστους Ald. Bk. Mr. — μέδιμνοι Gibbon. ap. Dobr. Wm. Turr.: μόδιοι (del. Mr.). — ὅποι N Turr.: ὅπῃ. cf. Aesch. 3, 209. — εἰδέναι ci. Bk.

44. γράψαι del. cum R. Turr. — (τὸν) τοὺς Bait. — αὐτοῦ A Bk.: αὑτοῦ N, αὐτῷ v. — κατίοι ABLZM.

45. τοσοῦτον] τοῦτον N et pr. A corr.[2],

Ἀρείου πάγου βουλὴν (διὰ) Δημοσθένην καὶ Δημάδην καὶ Κηφισοφῶντα ζητήσασαν ἓξ μῆνας ἀδίκως εἰς ὑμᾶς πεποιῆσθαι τὰς ἀποφάσεις;

Πολλοί, ὦ ἄνδρες, πολλοὶ τῶν πολιτῶν καὶ τῶν 46
ἄλλων Ἑλλήνων, ὅπερ καὶ πρότερον εἶπον, θεωροῦσιν ὑμᾶς πῶς τοῦτον δικάσετε τὸν ἀγῶνα, καὶ πότερον εἰσαγωγίμους καὶ τὰς τῶν ἄλλων δωροδοκίας ποιήσετε, ἢ ἀνέδην ἐξέσται δῶρα λαμβάνειν καθ' ὑμῶν, καὶ τὰ πρότερον δοκοῦντα πιστὰ καὶ βέβαια εἶναι νῦν ἄπιστα διὰ τὴν Δημοσθένους κρίσιν γενήσεται, ὃν ἐκ τῶν ἄλλων προσῆκεν ἀπολωλέναι τῶν πεπολιτευμένων αὐτῷ, ὃς ἁπάσαις ταῖς ἀραῖς ταῖς ἐν τῇ
πόλει γινομέναις ἔνοχος καθέστηκεν, ἐπιωρκηκὼς μὲν 47
τὰς σεμνὰς θεὰς ἐν Ἀρείῳ πάγῳ καὶ τοὺς ἄλλους θεοὺς οὓς ἐκεῖ διόμνυσθαι νόμιμόν ἐστι, κατάρατος δὲ καθ' ἑκάστην ἐκκλησίαν γινόμενος, ἐξεληλεγμένος (μὲν) δῶρα κατὰ τῆς πόλεως εἰληφώς, ἐξηπατηκὼς δὲ καὶ τὸν δῆμον καὶ τὴν βουλὴν παρὰ τὴν ἀράν, καὶ ἕτερα μὲν λέγων ἕτερα δὲ φρονῶν, ἰδίᾳ δὲ συμβεβουλευκὼς Ἀριστάρχῳ δεινὰς καὶ παρανόμους συμβουλάς· ἀνθ' ὧν — εἴπερ ἔστι που δικαία τιμωρία κατὰ τῶν ἐπιόρκων καὶ πονηρῶν, ὥσπερ ἔστι — δώσει δίκην οὗτος ἐν τῇ τήμερον ἡμέρᾳ. ἀκούσατε, ὦ ἄνδρες δικασταί, τῆς ἀρᾶς.

ΑΡΑ.

46. mal. (καὶ) τῶν πολιτῶν. — πότερον] πρότερον pr. A. — τὰς κατὰ τῶν ἄλλων N. — ἀναίδην N. — ὃν] ὧν N et pr. A. — γινομέναις cum Bk. Turr.: γενομέναις.

47. ἐπιορκηκὼς pr. A corr.[2]. — γινόμενος corr. A[d] Bk.: γενόμενος. — καὶ ante τὸν δῆμον om. pr. A. — ἕτερα μὲν λέγων κτέ.] cf. Dem. 18, 282. — ω ἄνδρες N: ἄνδρες. — τῆς ἀρᾶς NA Bk.: τὰς ἀράς.



www.libtool.com.cn

48 Ἀλλ᾽ ὅμως, ἄνδρες δικασταί, οὕτω Δημοσθένης
τῷ ψεύδεσθαι καὶ μηδὲν ὑγιὲς λέγειν ἑτοίμως χρῆται,
καὶ οὔτε αἰσχύνης οὔτε ἐλέγχου οὔτε ἀρᾶς οὐδὲν
αὐτῷ μέλει, ὥστε καὶ περὶ ἐμοῦ τολμήσει λέγειν, ὡς
ἀκούω, ὡς ἄρα κἀμοῦ κατέγνω πρότερον ἡ βουλή,
καὶ ποιῶ πάντων ἀτοπώτατον, ὡς οὗτός φησι, πρό-
τερον μὲν ἐναντίον τῇ τῆς βουλῆς ἀποφάσει ἀγῶνα
ἀπολογούμενος ὑπὲρ ἐμαυτοῦ, νυνὶ δὲ συνηγορῶν
αὐτῇ, κατηγορῶν τούτου, περὶ τῆς γεγενημένης ἀπο-
49 φάσεως· πρᾶγμα κατασκευάζων οὐ γεγενημένον, ἀλλὰ
ψεύδεσθαι πρὸς ὑμᾶς τολμῶν. ἵν᾽ οὖν ἐὰν ἐπὶ τοῦ-
τον ἴῃ τὸν λόγον, μὴ ἐπιτρέπητε αὐτῷ, ἀλλ᾽ εἰδῆτε
ἀκριβῶς ὅτι οὔτε με ἀπέφηνεν ἡ βουλὴ οὔτ᾽ ἐμέλ-
λησεν, ἠδικήθην δὲ ὑφ᾽ ἑνὸς ἀνθρώπου πονηροῦ καὶ
δίκην δεδωκότος παρ᾽ ὑμῖν, ἀκούσατέ μου βραχέα·
ἔπειτ᾽ ἐπὶ τοῦτον πάλιν βαδιοῦμαι.

50 Ἀνάγκη τὴν βουλήν, ὦ ἄνδρες, τὴν ἐξ Ἀρείου
πάγου κατὰ δύο τρόπους ποιεῖσθαι τὰς ἀποφάσεις
πάσας. τίνας τούτους; ἤτοι αὐτὴν προελομένην, ἢ
ζητήσασαν τοῦ δήμου προστάξαντος αὐτῇ. χωρὶς
τούτων οὐκ ἔστιν ὅντινα τρόπον ποιήσαιτ᾽ ἄν. εἰ
μὲν τοίνυν φῄς, ὦ μιαρὸν σὺ θηρίον, τοῦ δήμου
προστάξαντος ζητήσασαν τὴν βουλὴν περὶ ἐμοῦ ποιή-
51 σασθαι τὴν ἀπόφασιν, δεῖξον τὸ ψήφισμα καὶ τίνες
ἐγένοντό μου κατήγοροι γενομένης τῆς ἀποφάσεως,

48. μέλει] μέλλει pr. $A^d$ Ald. — τολμήσει NAB Bk.: τολμῆσαι.
49. πρὸς ὑμᾶς Turr.: πρός τινας. cf. τολμῆσαι § 48. — ἐπιτρέποιτε A. — ἐμέλησεν $NA^d$. — βραχεῖα A pr.
50. ἢ ζητήσ. τοῦ δήμου Kl.: καὶ ζητήσ., ἢ τοῦ δήμου. — ποιήσαιτ᾽ ἂν Bk. in Add.: ποιήσειεν (ὅντιν᾽ ἂν τρ. ποιήσειεν Turr.).

www.libtool.com.cn

ὥσπερ νῦν ἀμφότερα γέγονε, καὶ ψήφισμα καθ᾽ ὃ
ἐξήτησεν ἡ βουλή, καὶ κατήγοροι χειροτονήσαντος
τοῦ δήμου, παρ᾽ ὧν νῦν οἱ δικασταὶ τἀδικήματα
πυνθάνονται. κἂν ᾖ ταῦτα ἀληθῆ, ἀποθνήσκειν
ἕτοιμός εἰμι. εἰ δ᾽ αὐτὴν προελομένην ἀποφῆναί με
φῄς, παράσχου μάρτυρας τοὺς Ἀρεοπαγίτας, ὥσπερ
ἐγὼ παρέξομαι ὅτι οὐκ ἀπεφάνθην, καταψευσάμε- 52
νον μέντοι κἀμοῦ καὶ τῆς βουλῆς ...... ὥσπερ σὺ καὶ
πονηρὸν καὶ προδότην, ὃν εἰσαγγείλας καὶ ἐξελέγξας
ἐν πεντακοσίοις καὶ δισχιλίοις τῶν πολιτῶν ὅτι μισθώ-
σας αὐτὸν Πυθοκλεῖ κατ᾽ ἐμοῦ ταῦτ᾽ ἔπραξεν, ἐτι-
μωρησάμην μετὰ τῶν τότε δικασάντων. Λαβέ μοι
σὺ τὴν μαρτυρίαν, ἣν καὶ πρότερον παρεσχόμην
μαρτυρουμένην τοῖς δικασταῖς καὶ οὐδεὶς ἐπεσκή-
ψατο ὡς ψευδεῖ οὔσῃ, ἣν καὶ νῦν παρέξομαι. λέγε
τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Εἶτ᾽ οὐ δεινόν, ὦ Ἀθηναῖοι, εἰ ὅτι μὲν εἷς ἀνὴρ 53
ἔφησε Πιστίας Ἀρεοπαγίτης ὢν ἀδικεῖν με, καταψευ-
δόμενος καὶ ἐμοῦ | καὶ τῆς βουλῆς, ἴσχυσεν ἂν τὸ 97
ψεῦδος τῆς ἀληθείας μᾶλλον, καὶ διὰ τὴν ἀσθένειαν

www.libtool.com.cn

51. *με*] *μοι* BLZM. — *ἀπεφάνθην* AN Bk.: *ἐφάνθην*.

52. *καὶ* ante *προδότην* add. N Mr. (ci. Wm.). — *ὃν* add. ante *εἰσαγγ.* N et pr. A, quod non displicet Mr., cui ante *καταψ.* quaedam intercidisse videntur. Fort. *βουλῆς* (*ἕνα ἄνδρα ἐχθρὸν ἔσχον, μιαρὸν*) *ὥσπερ σὺ κτέ.* Iam. R. *μιαρὸν* h. l. addi voluerat. — *καὶ δισχιλίοις* add. NA Bk. — *Πυθοκλεῖ* N Mr.: *Τιμοκλεῖ*. — *ἣν καὶ νῦν*] *καὶ νῦν* ci. R.

53. *ὅτι*] *ὅτε* Markl. — *Πιστίας*] Oratio *κατὰ Πιστίου εἰςαγγελία* exstitit inter Dinarcheas (Dion. Din. 10). — *ἀδικεῖν με*] *ἀδικεῖ μὲν* LZM, *ἀδικῇ μὲν* B. — *καὶ ἐμοῦ* A pr. corr.[2]: *κατ᾽ ἐμοῦ* N, *ἐμοῦ* ZM, *κἀμοῦ* v.

τὴν τότε καὶ τὴν ἐρημίαν τὴν ἐμὴν ἐπιστεύθησαν αἱ
κατ' ἐμοῦ ψευδεῖς γινόμεναι κατασκευαί· ἐπειδὴ δὲ
τἀληθὲς παρὰ πάσης τῆς ἐξ Ἀρείου πάγου βουλῆς
ὁμολογεῖται, Δημοσθένην εἰληφέναι εἴκοσι τάλαντα
www.libtool.com.cn
χρυσίου καθ' ὑμῶν καὶ ταῦτα πεποιηκότα ἀδικεῖν,
καὶ ὁ δημαγωγὸς ὑμῖν, ἐν ᾧ τὰς ἐλπίδας ἔχουσί τι-
54 νες, ἐπ' αὐτοφώρῳ χρήματα λαμβάνων εἴληπται, νῦν
τὰ νόμιμα τἀκεῖθεν καὶ τὰ δίκαια καὶ τἀληθῆ ἀσθε-
νέστερα γενήσεται τῶν Δημοσθένους λόγων, καὶ
ἰσχύσει μᾶλλον τῆς ἀληθείας ἡ παρὰ τούτου ῥηθησο-
μένη κατὰ τοῦ συνεδρίου διαβολή, ὡς ἄρα πολλοὺς
ἡ βουλὴ ἀποπέφαγκεν ἀδικεῖν τὸν δῆμον, οἳ ἀποπε-
φεύγασιν εἰσελθόντες εἰς τὸ δικαστήριον, καὶ ἡ βουλὴ
ἐπ' ἐνίων τὸ πέμπτον μέρος οὐ μετείληφε τῶν ψή-
φων; τοῦτο δὲ ὃν τρόπον γίνεται, ῥᾳδίως ἅπαντες μα-
55 θήσεσθε. ἡ βουλή, ὦ ἄνδρες, ζητεῖ τὰ προσταχθέντα
ὑφ' ὑμῶν καὶ (ἀποφαίνει) τὰ γεγενημένα παρ' αὑτοῖς
ἀδικήματα οὐχ ὡς ὑμεῖς — καί μοι μὴ ὀργισθῆτε —
δικάζειν ἐνίοτε εἴθισθε, τῇ συγγνώμῃ πλέον ἢ τῷ
δικαίῳ ἀπονέμοντες, ἀλλ' ἁπλῶς τὸν ἔνοχον ὄντα
τοῖς ζητουμένοις καὶ τὸν ὁποιονοῦν ἠδικηκότα (πα-
ρὰ) τὰ πάτρια, νομίζουσα τὸν ἐν τοῖς μικροῖς συνε-
θιζόμενον ἀδικεῖν, τοῦτον τὰ μεγάλα τῶν ἀδικημά-
56 των εὐχερέστερον προσδέξεσθαι. διόπερ τὸν παρ'
αὑτῶν ἀποστερήσαντα τὸ ναῦλον τὸν πορθμέα ζη-
μιώσασα πρὸς ὑμᾶς ἀπέφηνε· πάλιν τὸν τὴν πεντε-

54. ἀποφεύγασιν N.

55. αὑτοῖς Bk.: αὐτοῖς. — συγγνώμῃ NB et corr. a pr. m. A Bk.: γνώμῃ. — (παρὰ) addidi coll. § 56; (κατὰ) τὰ π. Dobr. Turr. (scil. ζητεῖ); ἀποφαίνει κατὰ addi mal. Mr. Verbum hoc etiam Wolf. post ζητουμ. addi iusserat.

56. πενταδραχμίαν N. —

δραχμίαν ἐπὶ τῷ τοῦ μὴ παρόντος ὀνόματι λαβεῖν ἀξιώσαντα, καὶ τοῦτον ὑμῖν ἀπέφηνε, καὶ τὸν τὴν μερίδα τὴν ἐξ Ἀρείου πάγου τολμήσαντα ἀποδόσθαι παρὰ τὰ νόμιμα τὸν αὐτὸν τρόπον ζημιώσασα ἐξέβαλε. τούτους ὑμεῖς κρίναντες ἀφήκατε οὐ τῆς ἐξ Ἀρείου πάγου βουλῆς καταγινώσκοντες ψεύδεσθαι, ἀλλὰ τῇ συγγνώμῃ μᾶλλον ἢ τῷ δικαίῳ προσθέμενοι, καὶ τὴν τιμωρίαν μείζω νομίζοντες εἶναι τῆς ὑπὸ τῶν κρινομένων γεγενημένης ἁμαρτίας. ἦ που ἄρα ἡ βουλή, Δημόσθενες, τὰ ψευδῆ ἀπέφηνεν; οὐ δήπου. τούτους μέντοι, ὦ ἄνδρες, καὶ τοιούτους ἑτέρους ἀδικεῖν παρ' ἑαυτοῖς ἀποφηνάσης τῆς βουλῆς ὑμεῖς ἀφήκατε. Πολύευκτον δὲ τὸν Κυδαντίδην τοῦ δήμου προστάξαντος ζητῆσαι τὴν βουλήν, εἰ συνέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συνιέναι. κατηγόρους εἵλεσθε κατὰ τὸν νόμον, εἰσῆλθεν εἰς τὸ δικαστήριον, ἀπελύσαθ' ὑμεῖς, ὁμολογοῦντος τοῦ Πολυεύκτου βαδίζειν εἰς Μέγαρα ὡς τὸν Νικοφάνην· ἔχειν γὰρ τὴν αὑτοῦ μητέρα τοῦτον. οὐδὲν οὖν ἄτοπον οὐδὲ δεινὸν ἐφαίνετο ὑμῖν ποιεῖν τῷ τῆς μητρὸς ἀνδρὶ διαλεγόμενος ἠτυχηκότι καὶ συνευπορῶν, καθ' ὅσον δυνατὸς ἦν, ἀπεστερημένῳ τῆς πατρίδος. αὕτη, Δημόσθενες, τῆς βουλῆς ἡ ἀπόφασις οὐκ ἐξηλέγχθη ψευδὴς οὖσα, ἀληθινῆς δὲ αὐτῆς οἴσης ἔδοξε τοῖς δικασταῖς ἀφιέναι τὸν Πολύευκτον·

παρὰ ante τὰ νόμιμα add. NAB Bk. (ci. Wolf.).
57. παρ' ἑαυτοῖς scripsi: παρ' ἑαυτῆς (π. ἑαυτῇ R.). cf. § 55.
58. τὸν νόμον N Mr.: τοὺς νόμους. — τοῦ ante Πολ. add. N Mr. — ὑμῖν ποιεῖν N Mr.: ποιεῖν ὑμῖν.
59. ἐξελέγχθη N. —

www.libtool.com.cn

*τὸ μὲν γὰρ ἀληθὲς τῇ βουλῇ προσετάχθη ζητεῖν, τὸ δὲ συγγνώμης ἄξιον, φημί, τὸ δικαστήριον ἔκρινε. διὰ τοῦτο οὐ πιστευτέον τῇ βουλῇ περὶ τῶν γινομένων ἀποφάσεων, ἐπειδὴ σὲ καὶ τοὺς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀποπέφαγκε; δεινὸν μέντ' ἂν εἴη.*

www.libtool.com.cn

60 *δεῖξον γὰρ δὴ τοῖς δικασταῖς σὺ Δημόσθενες νυνὶ ὡς τούτων τι τῶν ἁμαρτημάτων ὅμοιόν ἐστι τοῖς σοῖς ἀδικήμασι, καὶ ὡς τὸ δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος συγγνώμης ἐστὶν ἄξιον, ὥστε ἀποφύγοις ἂν παρὰ τούτοις εἰκότως. ἀλλ' οἱ νόμοι περὶ μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀνηκόντων διπλῆν τὴν βλάβην ὀφείλειν κελεύουσι, περὶ δὲ τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν, ἢ θάνατον, ἵνα ταύτης τυχὼν τῆς ζημίας ὁ λαβὼν παράδειγμα γένηται τοῖς ἄλλοις, ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς λήμματος τὸ τίμημα [τῶν δώρων], ἵνα μὴ λυσιτελήσῃ τοῖς τοῦτο τολμῶσι ποιεῖν.*

61 | *Ἢ τοῦτο μὲν οὐκ ἐπιχειρήσεις λέγειν, ὅτι δὲ*
98 *τῶν πρότερον ἀποφανθέντων ὑπὸ τῆς βουλῆς τοῖς μὲν ἄλλοις ὡμολογηκέναι συμβέβηκεν ἀξίαν εἶναι*

*φημί*] *ἢ μὴ* cum R. Bk.: *φημί* revocarunt Turr. Mr. cum Wm. — *διὰ τοῦτ' (οὖν)* Hi. — *γενομένων* ABZM Bk.; *γιν.* tuetur Fr.

60. *δὴ* add. N Mr. — *νυνὶ* NAB Bk.: *τανῦν* ZM et pr. L, *τὰ νυνὶ* v. — *ἁμαρτημάτων* S. Mr.: *ἡμαρτηκότων.* cf. v. l. Ant. 5, 93. — *καὶ ὡς*] mal. *ἢ ὡς.* — *ἀλλ' οἱ νόμοι κτέ.*] cf. Hyp. I, col. 20. — *ὀφείλειν*] *ὀφλεῖν* Meier. — *γίνηται* N Bk.; A litt. *η* a m. sec. habet. — *τῶν δώρων* abesse mal. S. coll. 2, 17. — *λυσιτελήσῃ* scripsi: *λυσιτελὴς ᾖ* N et corr. A[d]; *λυσιτελὲς ᾖ* v.

61. *πρότερον* cum Scal. R.: *προτέρων.* malim autem *πώποτε.* — *ἀξίαν*] *ἀληθῆ* s. *ἀξιόπιστον* ci. Wolf., *δικαίαν* Mr.; *ἀξίαν εἶναι τῆς βουλῆς τὴν ζ.* Scheibe, quorum nihil probo. —

τὴν τῆς βουλῆς ζήτησιν, σοὶ δὲ μόνῳ [τὰ] περὶ αὐτῆς ἠναντιῶσθαι; ἀλλὰ μόνος σὺ τῶν πώποτε ἀποπεφασμένων ἠξίωσας ἑκὼν σεαυτῷ τούτους κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ σεαυτοῦ τὸ ψήφισμα, καὶ τὸν δῆμον ἐποιήσω μάρτυρα τῶν ὡμολογημένων, ὁρισάμενος σεαυτῷ ζημίαν εἶναι θάνατον, ἐάν (σ') ἀποφήνῃ ἡ βουλὴ τῶν χρημάτων εἰληφότα τι τῶν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου κομισθέντων.
ἀλλὰ μὴν πρότερον ἔγραψας σὺ ὦ Δημόσθενες κατὰ 62
πάντων τούτων καὶ τῶν ἄλλων Ἀθηναίων κυρίαν εἶναι τὴν ἐξ Ἀρείου πάγου βουλὴν κολάσαι τὸν παρὰ τοὺς νόμους πλημμελοῦντα, χρωμένην τοῖς πατρίοις νόμοις· καὶ παρέδωκας σὺ καὶ ἐνεχείρισας τὴν πόλιν ἅπασαν ταύτῃ, ἣν αὐτίκα φήσεις ὀλιγαρχικὴν εἶναι· καὶ τεθνᾶσι κατὰ τὸ σὸν ψήφισμα δύο τῶν πολιτῶν, πατὴρ καὶ υἱός, παραδοθέντες τῷ ἐπὶ τῷ ὀρύγματι·
ἐδέθη τῶν ἀφ' Ἁρμοδίου γεγονότων εἷς κατὰ τὸ σὸν 63
πρόσταγμα· ἐστρέβλωσαν Ἀντιφῶντα καὶ ἀπέκτειναν οὗτοι τῇ τῆς βουλῆς ἀποφάσει πεισθέντες· ἐξέβαλες σὺ Ἀρχῖνον ἐκ τῆς πόλεως ἐπὶ προδοσίᾳ κατὰ τὰς τῆς βουλῆς ἀποφάσεις καὶ τιμωρίας. κατὰ δὲ σαυτοῦ καὶ ταῦτα γράψας αὐτὸς τὸ ψήφισμα ἀκυροῖς; καὶ ποῦ ταῦτα δίκαια ἢ νόμιμά ἐστι;

Μαρτύρομαι τὰς σεμνὰς θεάς, ἄνδρες Ἀθηναῖοι, 64
καὶ τὸν τόπον ὃν ἐκεῖναι κατέχουσι, καὶ τοὺς ἥρωας

τὰ περὶ αὐτῆς] τὰ del. Dobr. — τὴν ζημίαν Wm. — ἐάν (σ') ci. Mr.

62. mal. (καὶ) πρότερον. — πατρίοις Wolf. Turr.: πατρῴοις. cf. § 4. 55. — ἐνεχείρησας N.

63. Ἀρχῖνον] Ἀναξῖνον susp. Droysen, sed cf. Mr. — καὶ τιμωρίας] cf. Mr. ad § 55.

64. ὦ ἄνδρες Dobs. —

τοὺς ἐγχωρίους, καὶ τὴν Ἀθηνᾶν τὴν Πολιάδα, καὶ τοὺς ἄλλους θεοὺς οἳ τὴν πόλιν καὶ τὴν χώραν ἡμῶν εἰλήχασιν, ὅτι τοῦ δήμου παραδεδωκότος ὑμῖν τιμωρήσασθαι τὸν εἰληφότα τι τῶν .... κατὰ τῆς πατρίδος, τὸν λελυμασμένον καὶ ἐφθαρκότα τὴν τῆς πόλεως εὐδαιμονίαν, τὸν περικεχαρακωμένην προδεδω-
65 κότα τὴν πατρίδα ταῖς αὑτοῦ συμβουλίαις, ὃν οἱ μὲν ἐχθροὶ καὶ κακόνοι τῇ πόλει ζῆν ἂν βούλοιντο, συμφορὰν ἡγούμενοι τῆς πόλεως εἶναι, ὅσοι δὲ εὖνοι τοῖς ὑμετέροις πράγμασι, καὶ μεταπεσούσης τῆς τύχης ἐλπίζουσιν ἐπὶ τὸ βέλτιον ἂν τὰ τῆς πόλεως πράγματα ἐλθεῖν, τὴν ἀξίαν δόντα δίκην τῶν πεπραγμένων ἀπολωλέναι βούλονται, καὶ ταῦτ' εὔχονται τοῖς θεοῖς. οὓς κἀγὼ συμπαρακαλῶ σῶσαι τὴν πατρίδα, κινδυνεύουσαν ὁρῶν ὑπὲρ σωτηρίας, ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ δόξης, ὑπὲρ τῶν ἄλλων ἀγαθῶν
66 ἁπάντων. τί γὰρ ἐροῦμεν, ὦ Ἀθηναῖοι, πρὸς τοὺς περιεστηκότας ἐξελθόντες ἐκ τοῦ δικαστηρίου, ἐάν, ὃ μὴ γένοιτο, παρακρουσθῆτε ὑπὸ τῆς τούτου γοητείας; τίσιν ὀφθαλμοῖς ἕκαστος ὑμῶν τὴν πατρῴαν ἑστίαν οἴκαδε ἀπελθὼν ἰδεῖν τολμήσει, ἀπολελυκό-

www.libtool.com.cn

*Πολιάδα* cum Wolf. Turr.: *πολίτιδα*. — *τὴν πόλιν καὶ τὴν χώραν* N Mr.: *τὴν χώραν καὶ τὴν πόλιν*. — *ὅτι* del. S. Mr., qui iungit *παραδ. τιμωρ.* coll. 1, 98; 2, 14. 20; 3, 14; *τιμωρήσασθε* mal. S. *Τιμωρήσετε* rc. N; *οὐκ ἐτιμωρήσασθε* Ald. Fort.: *ὅτι* (*νῦν δεῖ*) — — *τιμωρήσασθαι*. — *τι τῶν κατὰ* NA, *τι κατὰ* v. Fort. *τι τῶν κομισθέντων χρημάτων*; cf. § 70. — *περικεχαρ. ταῖς αὑτοῦ συμβουλίαις*] irridet Demosthenis gloriationem 18, 299. — *προδεδωκότα* Schm. Fr.: *παραδεδωκότα* (in mg. A[d]).

65. *τῇ πόλει* Kl.: *τῆς πόλεως*. — *ζῆν*] *ζητεῖν* pr. A corr.[2]. — *δόντα δίκην* N Mr.: *δίκην δόντα*.

66. *ἐπανελθὼν* Kl. — *τολμήσει* auct. Bk. Turr.: *τολμήσειε* N (h. e. *τολμήσετε*? cf. 107), *τολμήσειεν* v. —

*τες μὲν τὸν προδότην τὸν [πρῶτον] εἰς τὸν ἴδιον οἶκον εἰσενεγκάμενον τὸ δεδωροδοκημένον χρυσίον, κατεγνωκότες δὲ μηδὲν ἀληθὲς μήτε ζητεῖν μήθ' εὑρίσκειν τὸ σεμνότατον παρὰ πᾶσιν ἀνθρώποις εἶναι νομιζόμενον συνέδριον; τίνας δέ, ὦ Ἀθηναῖοι — σκο-* 67
*πεῖτε γὰρ πρὸς ὑμᾶς αὐτούς —, τίνας τὰς ἐλπίδας ἕξομεν, ἐὰν κίνδυνός τις καταλάβῃ τὴν πόλιν, τὸ μὲν δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος ἀσφαλὲς εἶναι πεποιηκότες, τὸ δὲ τὴν φυλακὴν ἔχον συνέδριον τῆς πόλεως ἐν τοῖς τοιούτοις κινδύνοις ἀδόκιμον καταστήσαντες; τί δ' ἐάν — τιθῶμεν γὰρ ταῦτα —, ἐὰν* 68
*κατὰ τὸ ψήφισμα τὸ Δημοσθένους ἀπαιτῇ πέμψας ἡμᾶς Ἀλέξανδρος τὸ χρυσίον τὸ κομισθὲν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου, καὶ πρὸς τῷ γεγενῆσθαι τὴν τῆς βουλῆς ἀπόφασιν τοὺς παῖδας καταπέμψῃ πρὸς ἡμᾶς τοὺς νῦν ὡς ἑαυτὸν ἀνακεκομισμένους, καὶ τούτων ἀξιοῖ πυνθάνεσθαι τὴν ἀλήθειαν ἡμᾶς, πρὸς θεῶν, ὦ ἄνδρες, τί ἐροῦμεν; γράψεις σὺ Δημόσθενες* 69
*πολεμεῖν ἡμᾶς, ἐπειδὴ καὶ τοὺς πρότερον πολέμους καλῶς | διῴκησας; καὶ πότερόν ἐστι δικαιότερον, ἂν* 99
*ταῦτα δόξῃ καὶ τοῖς ἄλλοις Ἀθηναίοις, εἰς τὸν πόλεμον ὑπάρχειν μετὰ τῶν ἄλλων καὶ τὸ παρὰ σοῦ*

*τὸν πρῶτον*] *τὸν πρῶτον τὸν* N et A pr. — *οἶκον* add. NA Bk. (ci. Wolf. et Steph.). — *δεδωροκημένον* N$^{m}$. — *μηδὲ ζητεῖν* Dobs. et v. ante Bk.; codicum neuter mentionem facit. — *σεμνότ. παρὰ πᾶσιν ἀνθρ. εἶναι* N Mr.: *παρὰ π. ἀ. εἶναι σεμν.*

67. *τὰς ἐλπίδας* NA Bk.: *ἐλπίδας.* — *ἔχων* pr. N.

68. *τί δ' ἐάν* Funkhänel Bait. Mr.: *τὶ δαὶ ἂν* N, *τί δὲ ἂν* v. — *τὸ γεγενῆσθαι* BLZM et pr. A corr.². — *καταπέμψει* L et pr. A corr.². — *πρὸς ὑμᾶς* N. — *ἡμᾶς* post *ἀλήθ.* Turr.: *ὑμᾶς.*

69. *γράψεις* cum Steph. et Wolf. R.: *γράφεις.* — (*τούτοις*) *δόξῃ καὶ* ci. R. —

www.libtool.com.cn

χρυσίον, ἢ τοὺς μὲν ἄλλους ἀπὸ τῶν ἰδίων κτημά-
των ἕκαστον εἰσφέρειν καὶ καταχωνεύειν τὸν ἴδιον
κόσμον τῶν γυναικῶν καὶ τὰ ἐκπώματα καὶ πάντα
τὰ ἐν τῇ χώρᾳ ἀναθήματα τῶν θεῶν, ὥσπερ ἔφησθα
www.libtool.com.cn
σὺ γράψειν, αὐτὸς εἰσενεγκὼν πεντήκοντα δραχμὰς
ἀπὸ τῆς οἰκίας τῆς ἐν Πειραιεῖ καὶ τῆς ἐν ἄστει;
τοσοῦτον γὰρ κατὰ τὴν προτέραν εἰσφορὰν εἰσενη-
70 νοχὼς εἴκοσι τάλαντα ἔχεις. ἢ πολεμεῖν μὲν οὐ γρά-
ψεις, ἀποδιδόναι δὲ κατὰ τὸ γεγραμμένον ὑπὸ σοῦ
ψήφισμα κελεύσεις Ἀλεξάνδρῳ τὸ κεκομισμένον χρυ-
σίον; οὐκοῦν ὑπὲρ σοῦ τὸν δῆμον ἀποδιδόναι δεή-
σει. καὶ ποῦ τοῦτ' ἐστὶ δίκαιον ἢ κοινὸν ἢ δημοτι-
κόν, τοὺς μὲν ἐργαζομένους εἰσφέρειν, σὲ δὲ ἁρπάζειν
καὶ κλέπτειν; καὶ τοὺς μὲν φανερὰν κεκτῆσθαι τὴν
οὐσίαν καὶ ἀπὸ ταύτης εἰσφέρειν, σὲ δὲ πλείω ἢ
πεντήκοντα καὶ ἑκατὸν τάλαντα τὰ μὲν ἐκ τῶν βα-
σιλικῶν τὰ δὲ ἐκ τῶν Ἀλεξάνδρου πραγμάτων εἰλη-
φέναι, μηδὲν δὲ φανερὸν ἐν τῇ πόλει κεκτῆσθαι,
ἀλλὰ διεσκευάσθαι πρὸς τὸν δῆμον ὡς οὐ πιστεύ-
71 οντα τοῖς ἑαυτῷ πεπολιτευμένοις; καὶ τοὺς μὲν νό-
μους προλέγειν τῷ ῥήτορι καὶ τῷ στρατηγῷ, (τῷ)
τὴν παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν,
παιδοποιεῖσθαι κατὰ τοὺς νόμους, γῆν ἐντὸς ὅρων

γράψειν cum Steph. R.: γράφειν. — οἰκείας pr. A.

70. κελεύσεις cum Steph. R.: κελεύεις (quod revoc. Mr.). — τοὺς μὲν . . . ἐργαζ. A. — καὶ κλέπτειν add. N Mr. — vv. καὶ τοὺς — εἰσφέρειν in mg. add. A[d]. — πλεῖον N Fr. (πλεῖν Kl. W.). Μὲν addi malim. — πραγμάτων] χρημάτων cum Wolf. Mr. — εἰληφότα M et v. ante Bk. — μηδὲν δὲ NAB Bk.: μηδὲν. — σαυτῷ Kl. — πεπολιτευμένοις N Mr. (ci. Schm.): πολιτευομένοις.

71. τῷ post στρατ. addi iubet R. — ἐντὸς] ἐν τοῖς BLZM. — γεγεννημένους A corr.[2]. —

κεκτῆσθαι, πάσας τὰς δικαίας πίστεις παρακαταθέμε-
νον, οὕτως ἀξιοῦν προεστάναι τοῦ δήμου· σὲ δὲ τὴν
(μὲν) πατρῴαν γῆν πεπρακέναι, τοὺς δὲ οὐ γεγενη-
μένους υἱεῖς σαυτῷ προσποιεῖσθαι παρὰ τοὺς νόμους
τῶν ἐν ταῖς κρίσεσιν ἕνεκα γινομένων ὅρκων, ἐπι-
www.libtool.com.cn
τάττειν δὲ τοῖς ἄλλοις στρατεύεσθαι λιπόντα αὐτὸν
τὴν κοινὴν τάξιν;

Ὦ Ἀθηναῖοι, παρὰ τί οἴεσθε τὰς πόλεις τοτὲ μὲν 72
εὖ τοτὲ δὲ φαύλως πράττειν; οὐδὲν εὑρήσετε ἄλλο
πλὴν παρὰ τοὺς συμβούλους καὶ τοὺς ἡγεμόνας.
ἐπιβλέψατε δὲ ἐπὶ τὴν Θηβαίων πόλιν. ἐγένετο πό-
λις, ἐγένετο μεγίστη· (πότε), καὶ τίνων τυχοῦσα
ἡγεμόνων καὶ στρατηγῶν; ἅπαντες ἂν ὁμολογήσαιεν
οἱ πρεσβύτεροι, παρ' ὧνπερ κἀγὼ τοὺς λόγους ἀκούων
ἐρῶ, ὅτε Πελοπίδας, ὥς φασιν, ἡγεῖτο τοῦ ἱεροῦ 73
λόχου καὶ Ἐπαμινώνδας ἐστρατήγει καὶ οἱ μετὰ τού-
των· τότε τὴν ἐν Λεύκτροις μάχην ἐνίκησεν ἡ τῶν
Θηβαίων πόλις, τότε εἰς τὴν ἀπόρθητον νομιζομένην
εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλον, κατ' ἐκείνους
τοὺς χρόνους πολλὰ καὶ καλὰ διεπράξαντο ἔργα,
Μεσσήνην τετρακοσιοστῷ ἔτει κατῴκισαν, Ἀρκάδας
αὐτονόμους ἐποίησαν, ἔνδοξοι παρὰ πᾶσιν ἦσαν.
πότε δ' αὖ τοὐναντίον ταπεινὰ καὶ τοῦ φρονήματος 74

παρὰ] κατὰ N pr. A pr. corr.². Num τῶν ἐν τ. κρ. κατὰ τοὺς νόμους γιγν. ὅ. ἕνεκα? Praepositionis collocatio Meiero offensioni fuit.

72. εὑρήσητε BLZM Ald. — δὲ ἐπὶ N Mr.: γὰρ ἐπὶ. — πότ' ante ἐγένετο πόλις cum Steph. et Dobr. add. Mr.; idem cum Dobr. del. πόλις, ἐγένετο. Adversantur Meier. et Fr. — ἂν ὁμολ. NAB Bk.: γὰρ ὁμολ. — οἱ ante πρεσβ. cum R. add. Dobs. Turr.

73. λόχου a corr.² habet A. — Ἐπαμινώνδας NZM et A pr. Turr.: Ἐπαμεινώνδας. — Μεσήνην codd. et Ald. — κατῴκησαν pr. A[d].

ἀνάξια διεπράξαντο; ὅτ' ἐδωροδόκει μὲν λαμβάνων
χρήματα παρὰ Φιλίππου Τιμόλαος ὁ τούτου φίλος,
ἐπὶ δὲ τοῖς ξένοις τοῖς εἰς Ἄμφισσαν συλλεγεῖσι Πρό-
ξενος ὁ προδότης ἐγένετο, ἡγεμὼν δὲ τῆς φάλαγγος
www.libtool.com.cn
κατέστη Θεαγένης, ἄνθρωπος ἀτυχὴς καὶ δωροδόκος
ὥσπερ οὗτος. τότε διὰ τρεῖς γε ἀνθρώπους οὓς εἶ-
πον ἅπασα ἡ πόλις μετὰ τῶν ἄλλων Ἑλλήνων ἀπώ-
λετο καὶ συνδιεφθάρη. οὐ γὰρ ψεῦδός ἐστιν ἀλλὰ
καὶ λίαν ἀληθὲς τὸ τοὺς ἡγεμόνας αἰτίους ἁπάντων
γίνεσθαι καὶ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων τοῖς
75 πολίταις. θεωρήσατε δὴ πάλιν καὶ ἐπὶ τῆς ἡμετέρας
πόλεως, τὸν αὐτὸν τρόπον ἐξετάσαντες. ἡ πόλις
ἡμῶν ἦν μεγάλη· καὶ ἔνδοξος παρὰ τοῖς Ἕλλησι καὶ
τῶν προγόνων ἀξία, μετά γε τὰς ἀρχαίας ἐκείνας
πράξεις, ὅτε Κόνων, ὡς οἱ πρεσβύτεροι λέγουσιν,
ἐνίκησε τὴν ἐν Κνίδῳ ναυμαχίαν, ὅτε Ἰφικράτης
ἀνεῖλε τὴν Λακεδαιμονίων μόραν, ὅτε Χαβρίας ἐν
Νάξῳ κατεναυμάχησε τὰς Λακεδαιμονίων τριήρεις,
ὅτε Τιμόθεος τὴν ἐν Κερκύρᾳ ναυμαχίαν ἐνίκησε.
76 τότε, ὦ Ἀθηναῖοι, τότε οἱ μὲν πρότερον ὄντες λαμ-
προὶ διὰ τοὺς ἡγεμόνας Λακεδαιμόνιοι καὶ ὑπὸ τοῖς
ἐκείνων ἤθεσι τραφέντες ταπεινοὶ πρὸς τὴν πόλιν

74. *παρὰ Φιλίππου* NA Bk.: *παρὰ τοῦ Φιλ.* Cf. § 28. — *τούτου* NA Bk.: *τούτων.* — *Ἄμφισαν* codd. et Ald. — *κατέστη* AB Bk.: *κατεστάθη.* — *Θεαγένης*] Harpocr. s. v. *Θεογείτων*, qui laudat h. l. (*Δείν. ἐν τῷ κατὰ Δημ.*), formam *Θεογένης* praebet (cf. Phot. s. v. *Θεογείτων*). — *τῶν ἄλλων Ἑλλήνων* N Fr.: *τῶν Ἑλλ. ἁπάντων* (*τῶν ἄλλων Ἑλλ. ἁπάντων* Mr.). — *διεφθάρη* pr. A corr.[1] Bk. Turr. (*συν* ad *τρεῖς γε ἀνθρ.* referendum est).

75. (*πότε*) *ἡ πόλις* Markl. — *τὴν . . Λακεδαιμονίων* A[d]. — *μόραν* cum Scalig. R.: *μοῖραν.* — *Χαβρίας*] *χαυρίας* A[d].

ἡμῶν ἧκον, δεόμενοι τῆς παρὰ τῶν ἡμετέρων προγόνων σωτηρίας, ὁ δὲ καταλυθεὶς ὑπ' ἐκείνων | δῆμος διὰ τοὺς τότε γενομένους παρ' ἡμῖν συμβούλους πάλιν ἡγεμὼν ἦν τῶν Ἑλλήνων, δικαίως, οἶμαι, στρατηγῶν μὲν τοιούτων τετυχηκὼς οἵων εἶπον ἀρτίως, συμβούλους δ' ἔχων Ἀρχῖνον καὶ Κέφαλον τὸν Κολλυτέα. μία γὰρ αὕτη σωτηρία καὶ πόλεως καὶ ἔθνους ἐστί, τὸ προστατῶν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων τυχεῖν. διόπερ, ὦ Ἀθηναῖοι, 77
δεῖ ταῦθ' ὑμᾶς ὁρῶντας καὶ λογιζομένους μὴ μὰ Δία τὸν πλείω χρόνον τῆς Δημοσθένους δωροδοκίας καὶ ἀτυχίας κοινωνεῖν, μηδ' ἐν τούτῳ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, μηδὲ οἴεσθαι ἀπορήσειν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων, ἀλλὰ τὴν τῶν προγόνων λαβόντας ὀργὴν τὸν ἐπ' αὐτοφώρῳ κλέπτην εἰλημμένον καὶ προδότην, τὸν οὐκ ἀπεχόμενον τῶν εἰς τὴν πόλιν ἀφικνουμένων χρημάτων, τὸν εἰς τὰς δεινοτάτας ἀτυχίας ἐμβεβληκότα τὴν πόλιν, τὸν τῆς Ἑλλάδος ἀλιτήριον ἀποκτείναντας δεῖ ἐξόριστον ἐκ τῆς πόλεως ποιῆσαι, καὶ μεταβαλέσθαι τὴν τῆς πόλεως τύχην ἐᾶσαι, καὶ προσδοκῆσαι τούτων γενομένων βέλτιον πράξειν.

www.libtool.com.cn

Ἀκούσατε, ὦ Ἀθηναῖοι, κἀκείνου τοῦ ψηφίσμα- 78

76. τῆς παρὰ] τοῖς παρὰ pr. A corr.². — τῶν ἡμετέρων προγ. N Mr.: τῶν προγ. ἡμῶν. cf. 3, 12. — παρ' ἡμῖν S.: παρ' ὑμῖν. — Κολλυτέα Turr.: κοττυλέα ABL, κοτυλλέα ZM, κολυττέα v.

77. τὸν πλείω χρόνον] cf. Arist. Ran. 160 (Mr.). — num (προστατῶν) ἀνδρῶν ἀγ., sicut est 76? — λαβόντας pr. A corr.¹. — τὸν τῆς Ἑλλ. ἀλιτήριον] ex Aesch. 3, 157 cf. 131, ubi etiam ὑπερωρίσθαι δεῖ reperitur. — δεῖ add. N et pr. A Mr. — ἐκ τῆς πόλεως del. Kl. — μεταβαλλέσθαι N, μεταβάλλεσθαι pr. A[d].

τος τοῦ γραφέντος ὑπὸ Δημοσθένους, ὃ τεταραγμένης τῆς πόλεως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἔγραψεν ὁ δημοτικὸς οὗτος, καὶ τῆς μαντείας τῆς ἐλθούσης ἐκ Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου· σαφῶς γὰρ ὑμῖν πάλαι προείρηκε φυλάττεσθαι τοὺς ἡγεμόνας καὶ τοὺς συμβούλους. Λέγε τὴν μαντείαν πρῶτον.

www.libtool.com.cn

ΜΑΝΤΕΙΑ.

79 Λέγε δὴ τὸ καλὸν ψήφισμα (τὸ) τούτου.

ΨΗΦΙΣΜΑ.

Δημοτικός γ᾽ ὁ διατάττων ἑαυτὸν μέν, ἐπειδὴ ἀνδρεῖος καὶ εὔψυχός ἐστιν, ἐν τοῖς ὅπλοις μένειν, οὓς δ᾽ ἂν αὐτὸς ἀποδοκιμάσῃ τῶν πολιτῶν, ἐπὶ τὰ ἔργα ἀπιέναι, καὶ ἐάν τι ἄλλο τούτῳ δόξῃ ἐπιτήδειον εἶναι, τοῦτο ποιεῖν. Λέγε τὰ λοιπά.

ΨΗΦΙΣΜΑ.

80 Ἀκούετε, ὦ ἄνδρες δικασταί. ἀπιέναι φησὶ τὸ ψήφισμα τὰς ᾐρημένας πρεσβείας. ἐπειδὴ (γὰρ) ἤκουσε μετὰ τὴν μάχην τὴν ἐν Χαιρωνείᾳ Φίλιππον εἰς τὴν χώραν ἡμῶν μέλλειν εἰσβάλλειν, αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν᾽ ἐκ τῆς πόλεως

78. ὃ] ὅτε NLZM et pr. A. — *μαντείαν*] cf. § 98; Dem. 19, 297 sq.

79. (τὸ) *τούτου* cum R. Turr.; vulg. defendit Mr. Cf. § 92. — *αὐτὸς*] *οὗτος* N Fr. — *ἀποδοκιμάσει* N. — *τὰ ἔργα*] *τὰ* om. N. — ΨΗΦΙΣΜΑ N Turr.: *μαρτυρία* A, om. BLZM (in lacuna).

80. *ἄνδρες* N Mr.: *ὦ ἄνδρες*. cf. § 18. — *τὸ ψήφισμα* mal. abesse Bk. — *ᾐρημένας* cum Wolf. Bk.: *ἠρημένας* N[m], *εἰρημένας* v. — *γὰρ* post *ἐπειδὴ* addi iubet R., *ᾤχετο* addendum ci. Mr., ille quidem post *τάλαντα*. — *ἐκ τῆς* Wurm.; vulg. def. Mr. —

ἀποδραίη, (ᾤχετο) συσκευασάμενος (ἐκ) τῆς διοική-
σεως ὀκτὼ τάλαντα, οὐδὲν φροντίσας τῆς τότε πα-
ρούσης ἀπορίας, ἡνίχ' οἱ ἄλλοι πάντες ἐκ τῶν ἰδίων
ἐπεδίδοσαν εἰς τὴν ὑμετέραν σωτηρίαν. τοιοῦτος 81
www.libtool.com.cn
ὑμῖν ὁ σύμβουλος, καὶ δύο ταύτας μόνας ἐν τῷ βίῳ
Δημοσθένης πεποίηται ἀποδημίας, μετὰ τὴν μάχην
ὅτε ἀπεδίδρασκεν ἐκ τῆς πόλεως, καὶ νῦν εἰς Ὀλυμ-
πίαν, ἐπεὶ Νικάνορι διὰ τῆς ἀρχιθεωρίας ἐντυχεῖν
ἐβούλετο. ἄξιόν γε τούτῳ παρακαταθέσθαι τὴν πό-
λιν καὶ ἐπιτρέψαι κινδυνεύειν μέλλοντας, ὃς ὅτε μὲν
ἔδει μάχεσθαι μετὰ τῶν ἄλλων τοῖς πολεμίοις, λιπὼν
τὴν τάξιν ᾤχετο ἀπιὼν οἴκαδε, ἐπειδὴ δὲ προσῆκεν
οἴκοι κινδυνεύειν μετὰ τῶν ἄλλων, πρεσβευτὴν αὐ-
τὸς αὑτὸν προβαλόμενος ᾤχετο ἐκ τῆς πόλεως ἀπο-
δράς, ἐπειδὴ δὲ πρεσβεύειν ἔδει περὶ τῆς εἰρήνης, 82
οὐκ ἂν ἔφασκεν ἐκ τῆς πόλεως ἐξελθεῖν οὐδὲ τὸν
ἕτερον πόδα, ἐπειδὴ δὲ τοὺς φυγάδας Ἀλέξανδρον
ἔφασαν κατάγειν καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἧκεν,
ἀρχιθεωρὸν αὑτὸν ἐπέδωκε τῇ βουλῇ. τοιοῦτος οὗ-
τος, ἐν μὲν ταῖς παρατάξεσιν οἰκουρός, ἐν δὲ τοῖς
οἴκοι μένουσι πρεσβευτής, ἐν δὲ τοῖς πρεσβευταῖς
δραπέτης ἐστίν.

Λέγε δὴ καὶ τὰ περὶ ζητήσεως τῶν χρημάτων

οὐδὲν N[m] et cum Wolf. R.: οὐδὲ.

81. ἐν τῷ βίῳ deleri vult Mr.: etenim et aperte mentiri oratorem et secum ipsum pugnare (§ 12). Aut ἀποδημία voluntaria peregrinatio est, aut addendum ἑκών. — ἐπεὶ] ἐπὶ NLZM; . . ἐπ. A pr. corr.[1]. — ἐπιτρέψειν N. — προβαλόμενος NB et corr. A Bk.: προβαλλόμενος.

82. ἐπειδὴ δὲ τοὺς] δὴ om. N Fr., δὲ om. M. — φυ.γάδας A pr. — κατάγειν a corr. hab. A[d]. — ἐπέδωκε cum Scal. Turr.: ἀπέδωκε. — vv. οἰκουρός et δραπέτης transponi iubet S.; sed v. Mr. — τὰ et ψηφίσματα scripsi: τὸ et ψήφισμα. cf. 101.

*ψηφίσματα, ἃ ἔγραψε Δημοσθένης τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ αὑτοῦ τε καὶ ὑμῶν, ἵνα παρ' ἄλληλα θεωρήσαντες εἰδῆτε τὴν Δημοσθένους ἀπόνοιαν.*

ΨΗΦΙΣΜΑ.

www.libtool.com.cn

83 *Ἔγραψας σὺ τοῦτο Δημόσθενες; ἔγραψας· οὐκ ἔστιν ἀντειπεῖν. ἐγένετο ἡ βουλὴ κυρία σοῦ προστάξαντος; ἐγένετο. τεθνᾶσι τῶν πολιτῶν ἄνδρες; τεθνᾶσι. κύριον ἦν τὸ σὸν ψήφισμα κατ' ἐκείνων; ἀδύνατον ἀντειπεῖν.*

*Λέγε δὴ πάλιν ὃ Δημοσθένης κατὰ Δημοσθένους ἔγραψε. προσέχετε ὦ ἄνδρες.*

ΨΗΦΙΣΜΑ.

84 *Ἡ βουλὴ εὕρηκε Δημοσθένην. τί δεῖ πολλῶν λόγων; ἀποπέφαγκεν, ὦ Ἀθηναῖοι. τὸ μὲν τοίνυν*
101 *δίκαιον | ἦν ὑφ' ἑαυτοῦ κεκριμένον εὐθὺς ἀποθνήσκειν· ἐπειδὴ δὲ εἰς τὰς ὑμετέρας ἥκει χεῖρας, τῶν ὑπὲρ τοῦ δήμου συνειλεγμένων καὶ τῶν ὀμωμοκότων πείθεσθαι τοῖς νόμοις καὶ τοῖς τοῦ δήμου ψηφίσμασι, τί ποιήσετε; προήσεσθε τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν καὶ τὰ παρὰ πᾶσιν ἀνθρώποις δίκαια νομιζόμενα; μή, ὦ Ἀθηναῖοι, μή· αἰσχρὸν γὰρ καὶ δεινὸν ἑτέρους μὲν ὑπὸ τῶν Δημοσθένους ψηφισμάτων,*

Lacunam ante *καὶ τὸ* stat. Mr. — *ἃ* ci. Mr.: *ὅ*. — *ὑμῶν* N, corr.[2] A, Dobs. Mr.: *ἡμῶν*.

83. *ὦ ἄνδρες*] *ὦ* om. N Fr. Sed nisi addatur *δικασταί*, *ὦ* omitti non solet, cf. Mr. — ΨΗΦΙΣΜΑ add. NA Bk.

84. *ἡ βουλὴ* add. NA Bk. — *ὑμετέρας* corr.[2] A. — *τῶν, συνειλεγμένων, τῶν ὀμωμοκότων* cum Steph. Wolf. Wurm. Mr., et praebet *συνειλεγμένων* Ald.: *τοὺς, συνειλεγμένους, τοὺς ὀμωμοκότας*. — *πείσεσθαι* ci. Bait.; cf. Mr. — *πρὸς τοὺς .. θ .... ους* (h. e. *ἀνθρώπους*?) *εὐσέβειαν* pr. A corr.[1].

*οὐδὲν ὄντας τούτου χείρους οὐδὲ τοσαῦτ᾽ ἠδικηκό-
τας ὅσα περ οὗτος, ἀπολωλέναι, τουτονὶ δὲ κατα-
φρονοῦντα ὑμῶν καὶ τῶν νόμων ἀτιμώρητον ἐν τῇ
πόλει περιιέναι, αὐτὸν ὑφ᾽ ἑαυτοῦ καὶ τῶν ψηφισμά-
των ὧν ἔγραψεν ἑαλωκότα. ταὐτὸ συνέδριον, ὦ
Ἀθηναῖοι, καὶ ὁ αὐτὸς τόπος, καὶ ταὐτὰ δίκαια. ὁ* 86
*αὐτὸς ῥήτωρ ἐκείνοις τε αἴτιος ἐγένετο τῶν συμβάν-
των κακῶν καὶ αὑτῷ τῶν νῦν συμβησομένων. ἐπέ-
τρεψεν [ὁ] αὐτὸς οὗτος ἐν τῷ δήμῳ τῷ συνεδρίῳ τού-
τῳ κρῖναι περὶ αὑτοῦ, μάρτυρας ὑμᾶς πεποιημένος.
ἔθετο συνθήκας μετὰ τοῦ δήμου, γράψας τὸ ψήφισμα
καθ᾽ ἑαυτοῦ, παρὰ τὴν μητέρα τῶν θεῶν, ἣ πάντων
τῶν ἐν τοῖς γράμμασι δικαίων φύλαξ τῇ πόλει καθέ-
στηκε. διὸ καὶ οὐχ ὅσιον ὑμῖν ἐστι ταύτας ἀκύρους
ποιεῖν, οὐδὲ τοὺς θεοὺς ὀμωμοκόσι περὶ ταύτης τῆς
κρίσεως ταῖς αὐτῶν τῶν θεῶν πράξεσιν ἐναντίαν
τὴν ψῆφον ἐνεγκεῖν. κρίσει Ποσειδῶν ἀποτυχὼν τῇ* 87
*ὑπὲρ Ἁλιρροθίου πρὸς Ἄρη γενομένῃ ἐνέμεινεν·
(ἐνέμειναν) αὐταὶ αἱ σεμναὶ θεαὶ τῇ πρὸς Ὀρέστην
ἐν τούτῳ τῷ συνεδρίῳ κρίσει γενομένῃ, καὶ τῇ τού-
του ἀληθείᾳ συνοίκους ἑαυτὰς εἰς τὸν λοιπὸν χρόνον
κατέστησαν. ὑμεῖς δὲ τί ποιήσετε οἱ πάντων εἶναι*

www.libtool.com.cn

85. num (*ἀλλ᾽*) *οὐδὲ?* — *ἐν τῇ πόλει περιιέναι* N Mr.: *περ. ἐν τῇ πόλει.* — *ταὐτὸ* et mox *ταὐτὰ* cum Dobr. Turr.: *τουτὶ τὸ* et *ταῦτα τὰ* (*ταὐτὰ τὰ* A[d], *ταῦτ᾽ αὐτὰ τὰ* B). Contra Cb. *ταὐτὸν τὸ* scribi et *ταὐτὰ τὰ* retineri vult. — lacunam esse post *δίκ.* stat. Mr.; *καὶ* addi vol. R. Dobr.

86. *τε* post *ἐκείνοις* om. N. — *ὁ* del. Kl. — *παρὰ τῇ μητρὶ* ci. R., *τὸ παρὰ τῇ μητρὶ* Dobr. — *τῇ πόλει* sup. lin. hab. A[d] (*τῇ* om. pr. A sec. Bk.).

87, 1 *τῇ* — — *γενομένῃ* auct. Bk. Turr.: *τῆς* — *γενομένης* N[m], *τ . ς* — *γενομέν.* A pr., *τοῖς* — *γενομένοις* corr.[2] A v. — *ἐνέμειναν* h. l. auct. S. addidi; post *κρίσει γενομ.* inseri iusserant R. Bk. —

φάσκοντες εὐσεβέστατοι; τὴν τοῦ συνεδρίου γνῶσιν ἄκυρον καταστήσετε τῇ Δημοσθένους ἐπακολουθήσαντες πονηρίᾳ; οὔκ, ἐὰν σωφρονῆτε, ὦ Ἀθηναῖοι·

88 οὐ γὰρ περὶ μικρῶν οὐδὲ τῶν τυχόντων ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε, ἀλλὰ περὶ σωτηρίας τῆς πόλεως ἁπάσης καὶ πρὸς τούτοις περὶ δωροδοκίας, ἔθους πονηροῦ καὶ πράγματος ἀλυσιτελοῦς ὑμῖν καὶ πάντας ἀνθρώπους ἀπολωλεκότος. (ὃ) εἰ μὲν καθ' ὅσον ἐστὲ δυνατοὶ ἐκβαλεῖτε ἐκ τῆς πόλεως καὶ παύσετε τοὺς ῥᾳδίως καθ' ὑμῶν χρήματα λαμβάνοντας, σωθησόμεθα θεῶν βουλομένων· εἰ δ' ἐπιτρέψετε τοῖς ῥήτορσι πωλεῖν ὑμᾶς αὐτούς, περιόψεσθε τὴν πόλιν ἀνατραπεῖσαν ὑπὸ τούτων.

www.libtool.com.cn

89 Ἔγραψεν αὐτὸς ἐν τῷ δήμῳ Δημοσθένης, ὡς δηλονότι δικαίου τοῦ πράγματος ὄντος, φυλάττειν Ἀλεξάνδρῳ τὰ εἰς τὴν Ἀττικὴν ἀφικόμενα μετὰ Ἁρπάλου χρήματα. οὕτως οὖν, ὦ ἄριστε, εἰπέ μοι, φυλάξομεν, ἐὰν σὺ μὲν εἴκοσι τάλαντα λαβὼν ἔχῃς ἰδίᾳ, ἕτερος δὲ πεντεκαίδεκα, Δημάδης δὲ ἑξακισχιλίους χρυσοῦ στατῆρας, ἕτεροι δὲ ὅσα δή ποτε ἀποπεφασμένοι εἰσί; τέτταρα γὰρ τάλαντά ἐστι καὶ ἑξήκοντα ἤδη εὑρημένα, ὧν οἴεσθε τὴν αἰτίαν τούτοις

εὐσεβέστατοι N Mr.: εὐσεβέστεροι. — γνῶσιν N Mr.: γνώμην. — κατεστήσατε pr. A corr.². — Ἀθηναῖοι NAB Turr.: ἄνδρες Ἀθ.

88. περὶ σωτηρίας τ. π. ἁπ.] si conferas quod sequitur πρὸς τούτοις, aliqua intercidisse videntur. — fort. πάντας τοὺς χρωμένους ἀπολ. — (ὃ) εἰ μὲν ci. R. — ἡμᾶς αὐτούς N.

89. οὕτως] πῶς Cb. — φυλάξωμεν N. cf. 99. — ἰδίᾳ cum Wm. Turr.: ἴδια. — πεντακισχιλίους fort. Hyp. I fr. 2 init. — τέτταρα] τετρακόσια N et pr. A corr.²; γὰρ a corr.¹ habet A. — τούτοις δεῖν scr.: τουτοισὶν (δεὶν etiam R. addendum censuerat, ἂν Emp.).

δεῖν ἀναθεῖναι. καὶ πότερα κάλλιόν ἐστι, πρὸς δὲ 90
δικαιότερον, ἅπαντ᾽ ἐν τῷ κοινῷ φυλάττεσθαι, ἕως ἂν τί δίκαιον ὁ δῆμος βουλεύσηται, ἢ τοὺς ῥήτορας καὶ τῶν στρατηγῶν ἐνίους διηρπακότας ἔχειν; ἐγὼ μὲν γὰρ οἶμαι τὸ μὲν ἐν τῷ κοινῷ φυλάττειν παρὰ πάντων ὁμολογούμενον εἶναι δίκαιον, τὸ δὲ τούτους ἔχειν μηδένα ἂν εἰπεῖν ὡς ἔστι καλῶς ἔχον.

www.libtool.com.cn

Πολλοὺς οὗτος ἐρεῖ καὶ παντοδαποὺς λόγους, 91
ὦ ἄνδρες, καὶ οὐδέποτε τοὺς αὐτούς. ὁρᾷ γὰρ ὑμᾶς τὸν πάντα χρόνον ἐλπίσι κεναῖς καὶ ψευδέσι λόγοις ἐξηπατημένους ὑφ᾽ ἑαυτοῦ, καὶ μέχρι τούτου καὶ μνημονεύοντας τὰς ὑποσχέσεις μέχρις ἂν ῥηθῶσιν. εἰ μὲν οὖν ἔτι δεῖ τὴν πόλιν τῆς Δημοσθένους πονηρίας καὶ ἀτυχίας ἀπολαύειν, ἵνα πλείω κακοδαιμονῶμεν — οὐ γὰρ ἔχω τί ἄλλο εἴπω —, στερκτέον ἐπὶ τοῖς συμβαίνουσιν· εἰ δέ τι κηδόμεθα 92
τῆς πατρίδος καὶ τοὺς πονηροὺς καὶ δωροδόκους μισοῦμεν καὶ μετοιωνίσασθαι τὴν τύχην καὶ μεταλλάξασθαι βουλόμεθα, οὐ προετέον ἐστὶν ὑμᾶς αὐτοὺς ὦ Ἀθηναῖοι ταῖς τοῦ | μιαροῦ καὶ γόητος τού- 102
του δεήσεσιν, οὐδὲ προσδεκτέον τοὺς οἴκτους καὶ

90. *πρὸς δὲ* (*καὶ*) ci. R. — *ἄν τι* mal. R. Schm: *ἄν τι.*

91. *εἴρηκε καὶ* aut *οὐδέποτε* pro *οὐδεπώποτε* Dobr.; hoc praetulerunt Turr. Mr. Kl., qui cf. Aesch. 1, 127. — *πάντα* N Fr.: *ἅπαντα.* — *καὶ* post *μέχρι τούτου* add. N. — *πλείω* N Mr.: *πλέον. κακοδαιμονεῖν* orator pro *ἐξαμαρτάνειν* ponit. — *οὐ γὰρ* N Mr.: *οὐδὲ γάρ.* — *ἐπὶ* scr.: *εἴη* (*ἂν εἴη* mal. Bk.; *εἴη* del. Fr. Bait.).

92. *δέ τι* mal. Bait.: *δ᾽ ἔτι.* — *μετοιωνίσασθαι*] cf. Harp. s. v. — *προετέον* cum Wolf. Bk.: *προσεκτέον*, quod def. Fr. Aut *προετ.* scribi aut deleri *αὐτοὺς* voluit R. — *προςδεκτέον* NAB Bk.: *προςεκτέον* LZ, *προςιτέον* M Ald., *προςετέον* cum Wolf. R. —

*τοὺς φενακισμοὺς (τοὺς) τούτου· ἱκανὴν γὰρ εἰλή-
φατε πεῖραν αὐτοῦ καὶ τῶν λόγων καὶ τῶν ἔργων
93 καὶ τῆς τύχης. τίς οὕτως εὔελπις ὑμῶν ἐστιν, ὦ
Ἀθηναῖοι, τίς οὕτως ἀλόγιστος, τίς (οὕτω) τῶν προ-
γεγενημένων καὶ νῦν ἐνεστηκότων πραγμάτων ἄπει-
ρος, ὅστις ἐλπίζει τὸν ἐκ τοσαύτης εὐδαιμονίας εἰς
τοσαύτην ἀδοξίαν καταστήσαντα τὴν πόλιν δι' ἡν-
τιναδήποτε αἰτίαν ἢ τύχην — ἐῶ γὰρ τοῦτο νῦν —,
ἐπειδὴ πρὸς ταῖς ἄλλαις ἀπορίαις καὶ τοῖς περιεστη-
κόσιν ἡμᾶς κινδύνοις καὶ ἡ τῶν ἐξ αὐτῆς τῆς πόλεως
δωροδοκία προσγέγονε, καὶ περὶ αἰσχρᾶς αἰτίας κοινῇ
πάντες ἀγωνιζόμεθα καὶ περὶ τοῦ μὴ δοκεῖν τὰ ἰδίᾳ
παρά τισιν ὄντα χρήματα κοινῇ τὸν δῆμον ἔχειν,
τηνικαῦτα συμβουλεύοντα καὶ διοικοῦντα τοῦτον σώ-
94 σειν ἡμᾶς; ἐῶ γὰρ τἆλλα ὅσα μεταβαλλόμενος ἐν
τοῖς πράγμασι καὶ δημηγορῶν οὐδὲν ὑγιὲς διατετέ-
λεκε, καὶ τοτὲ μὲν γράφων καὶ ἀπαγορεύων μηδένα
νομίζειν ἄλλον θεὸν ἢ τοὺς παραδεδομένους, τοτὲ
δὲ λέγων ὡς οὐ δεῖ τὸν δῆμον ἀμφισβητεῖν τῶν ἐν
τῷ οὐρανῷ τιμῶν Ἀλεξάνδρῳ, ὅταν δὲ μέλλῃ κρι-
θήσεσθαι παρ' ὑμῖν, Καλλιμέδοντα εἰσαγγέλλων συν-
ιέναι ἐν Μεγάροις τοῖς φυγάσιν ἐπὶ καταλύσει τοῦ*

*τοὺς* ante *τούτου* add. Turr., rursus del. Mr. Cf. § 79. — *καὶ τῶν λόγων καὶ τῶν ἔργων* $N^{m}$ Mr.: *καὶ τῶν ἔ. καὶ τῶν λόγων.* Cf. 102.

93. *οὗτος ἀλόγιστος* pr. $A^{d}$. — *οὕτω* post *τίς* add. Mr.; (*οὕτως*) *ἄπειρος* iam Wolf. mal. — *ὅστις*] *τίς* codd. — *τοῦτό* (*γε*) *νῦν* Wm. — *ἰδίᾳ* Bk.: *ἰδία* corr. $A^{d}$, *ἴδια* v. — *διοικοῦντα*] *πολεμοῦντα* LZM et v. ante Bk., unde *πολέμους διοικοῦντα* Wm. — *ὑμᾶς* $A^{d}$ Dobs.

94. *διατετέλεκε* N Turr. (ci. R.): *τετέλεκε.* — *νομίζειν ἄλλον* N Mr.: *ἄλλον νομίζειν.* — *τῷ* ante *οὐρανῷ* add. N Mr. — *μέλλει* pr. A corr.$^{2}$.

www.libtool.com.cn

*δήμου, καὶ ταύτην τὴν εἰσαγγελίαν εὐθὺς παρα-*
*χρῆμα ἀναιρούμενος, ἐν δὲ τῇ ἐκκλησίᾳ ταύτῃ τῇ* 95
*πρῴην γεγενημένῃ προσάγων καὶ κατασκευάζων ψευδῆ μηνυτὴν ὡς ἐπιβουλευομένων τῶν νεωρίων,* www.libtool.com.cn *καὶ περὶ τούτων γράφων μὲν οὐδέν, αἰτίας δὲ ἕνεκα τοῦ παρόντος ἀγῶνος παρασκευάζων· τούτων γὰρ ἁπάντων ὑμεῖς τούτῳ μάρτυρές ἐστε. γόης οὗτος, ἄνδρες Ἀθηναῖοι, καὶ μιαρὸς ἄνθρωπός ἐστι, καὶ οὔτε τῷ γένει τῆς πόλεως πολίτης οὔτε τοῖς πεπολι-*
*τευμένοις αὐτῷ καὶ πεπραγμένοις. ποῖαι γὰρ τριή-* 96
*ρεις εἰσὶ κατεσκευασμέναι διὰ τοῦτον, ὥσπερ ἐπὶ Εὐβούλου, τῇ πόλει; ἢ ποῖοι νεώσοικοι τούτου πολιτευομένου γεγόνασι; πότε οὗτος ἢ διὰ ψηφίσματος ἢ νόμου ἐπηνώρθωσε τὸ ἱππικόν; τίνα κατεσκεύασε δύναμιν, τοσούτων καιρῶν παραγενομένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἢ πεζὴν ἢ ναυτικήν; τίς ἀνενήνεκται κόσμος τῇ θεῷ εἰς ἀκρόπολιν ὑπὸ τούτου; τί κατεσκεύακεν οἰκοδόμημα Δημοσθένης ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ ἢ ἐν τῷ ἄστει ἢ ἄλλοθί που τῆς*
*χώρας; οὐδεὶς ἂν οὐδαμοῦ δείξειεν. ἔπειτα τὸν μὲν* 97
*ἐν ταῖς πολεμικαῖς πράξεσιν ἄπιστον γεγενημένον, ἐν δὲ ταῖς κατὰ τὴν πόλιν οἰκονομίαις ἄχρηστον,*

95. *ἐν δὴ* N.

96. Imitatur Demosthenis illa: 18, 311; 19, 282. — *τριήρης* N. — *διὰ τοῦτον* NAB Bk. (cf. Dem. 18, 311): *διὰ τούτου*. — *ἐπὶ Βούλου* pr. N; *ἐπιβούλου* ZM. haec autem verba (*ὥσπερ ἐ. Ε.*) post *νεώσοικοι* transposita malim. — *ἐπηνώρθωκε* et *κατεσκεύακε* ci. Scheibe. — *τοσούτων* scr.: *τοιούτων*. — *ἀνενήνεκται* Bk.: *ἀνήνεκται*. — *κόσμος τῇ θεῷ* N Mr.: *τῇ θεῷ κόσμος*. — *κατεσκεύακεν οἰκ. Δημ.* N Mr.: *κατεσκεύακε Δημ. οἰκ.* — *οὐδεὶς ἂν* cum Steph. Bk.: *οὐδεὶς οὖν*.

97. mal. *τὸν ἐν μὲν*. — vv. *ἄπιστον* et *ἄχρηστον* transponi mal. Bk., quod ego non probo. —

περιεωρακότα δὲ τοὺς ἀντιπολιτευομένους ἅπαντα
διαπεπραγμένους ὅσα ἐβουλήθησαν, μεταβεβλημένον
δὲ αὐτὸν καὶ τὰς ὑπὲρ τοῦ δήμου πράξεις ἐγκαταλε-
98 λοιπότα, τοῦτον περιποιῆσαι βουλήσεσθε; οὔκ, ἐὰν
σωφρονῆτε καὶ καλῶς καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς
πόλεως βουλεύησθε· ἀλλὰ δέξεσθε τὴν ἀγαθὴν τύχην,
ἣ τιμωρήσασθαι παρέδωκε τῶν ῥητόρων τοὺς τὴν
πόλιν διὰ τὴν αὐτῶν δωροδοκίαν ταπεινὴν πεποιη-
κότας, καὶ φυλάξεσθε, καθάπερ οἱ θεοὶ προειρήκα-
σιν ὑμῖν ἐν ταῖς μαντείαις πολλάκις, τοὺς τοιούτους
ἡγεμόνας καὶ συμβούλους. ἀκούσατε δὲ αὐτῆς τῆς
μαντείας. Λέγε τὴν μαντείαν.

www.libtool.com.cn

ΜΑΝΤΕΙΑ.

99 Πῶς οὖν μίαν γνώμην ἕξομεν, ὦ Ἀθηναῖοι,
πῶς ὁμονοήσομεν ἅπαντες ὑπὲρ τῶν κοινῇ συμφε-
ρόντων, ὅταν οἱ ἡγεμόνες καὶ οἱ δημαγωγοὶ χρή-
ματα λαμβάνοντες προΐωνται τὰ τῆς πατρίδος συμ-
φέροντα, καὶ ὑμεῖς μὲν καὶ ὁ δῆμος ἅπας κινδυνεύῃ
περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως καὶ τῶν ἱερῶν
τῶν πατρῴων καὶ παίδων καὶ γυναικῶν, οἱ δὲ διηλ-
λαγμένοι πρὸς αὐτοὺς ἐν μὲν ταῖς ἐκκλησίαις λοιδο-
ρῶνται καὶ προσκρούωσιν ἀλλήλοις ἐξεπίτηδες, ἰδίᾳ

διαπεπραγμένους corr.[2] A et cum Wolf. R.: δὲ πεπραγμένους. — βουλήσεσθε Dobr.: βούλεσθε. cf. § 98.

98. βουλεύεσθε N. — δέξεσθε et φυλάξεσθε Dobr.: δέξασθε et φυλάξασθε. — παραδέδωκεν? cf. 2, 20. — αὐτῆς] αὖθις Gruter. prob. Schm. (coll. § 78); ταύτης ci. Mr. — λέγε] λ. σὺ Ald. vv. τὴν μαντ. cum Kl. abesse malim.

99. ὁμονοήσωμεν N. — καὶ ante ὁ δῆμος add. NB et corr. A Bk. (ci. R.). — κινδυνεύει pr. A corr.[2]. — περὶ τοῦ ἐδάφους κτέ.] cf. Aesch. 3, 134. — vv. διηλλαγμ. πρὸς αὐτοὺς post ἰδίᾳ δὲ posita malim. —

δὲ ταὐτὰ πράττωσιν ἐξαπατῶντες ὑμᾶς τοὺς ῥᾷστα
πειθομένους τοῖς τούτων λόγοις; τί γάρ ἐστι ῥήτορος 100
δημοτικοῦ καὶ μισοῦντος τοὺς | κατὰ τῆς πόλεως 103
λέγοντας καὶ γράφοντας; ἢ τί φασι τοὺς πρὸ ὑμῶν
www.libtool.com.cn
γεγενημένους, ὦ Δημόσθενες καὶ Πολύευκτε, διατε-
λεῖν ποιοῦντας, καὶ ταῦτα οὐδενὸς δεινοῦ τότε τὴν
πόλιν περιεστηκότος; οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσ-
αγγέλλειν; οὐ γράφεσθαι παρανόμων; ἔστιν οὖν ὅ
τι πεποιήκατε τούτων ὑμεῖς οἱ φάσκοντες τοῦ δήμου
κήδεσθαι καὶ τὴν σωτηρίαν ὑμῖν ἐν τῇ τούτων εἶναι
ψήφῳ; γέγραψαι ψήφισμα, Δημόσθενες, πολλῶν ὄν- 101
των καὶ δεινῶν καὶ παρανόμων ὧν Δημάδης γέ-
γραφε; κεκώλυκάς τινα πρᾶξιν ὧν ἐκεῖνος προελό-
μενος κατὰ τοῦ δήμου πεπολίτευται; οὐδ' ἡντινοῦν.
εἰσήγγελκας τὸν παρὰ τὰ τοῦ δήμου ψηφίσματα καὶ
τοὺς νόμους πολλὰ διαπεπραγμένον; οὐδεπώποτε,
ἀλλὰ περιεῖδες αὐτὸν ἐν τῇ ἀγορᾷ χαλκοῦν σταθέντα
καὶ τῆς ἐν τῷ πρυτανείῳ σιτήσεως κεκοινωνηκότα
τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἀπογόνοις. ἔπειτα 102
ποῦ τῆς εὐνοίας τῆς σῆς ὁ δῆμος ἔλαβε πεῖραν, ἢ
ποῦ τὴν τοῦ ῥήτορος βοήθειαν καὶ δύναμιν ἐξεταζο-
μένην εἴδομεν; ἢ ἐνταῦθα φήσετ' εἶναι δεινοί, εἰ

ταὐτὰ cum Wolf. et Grut. R.: τὰ αὐτὰ N, ταῦτα v.

100. ὑμῶν ci. R.: ἡμῶν. — vv. ἔστιν οὖν — 101 παρανόμων om. pr. A. — τὴν σωτηρίαν κτἑ.] cf. 102. — ψήφῳ] cf. 102.

101. γέγραψαι NA Turr.: γέγραπται BLZM, γέγραπταί σοι v. — δεινῶν καὶ παρανόμων N Mr. (ci. Wm.): δεινῶν (δεινῶς ci. Bk. rec. Turr.) παρανόμων. — εἰσήγγελκας in mg. habet A[d]. — τὰ et ψηφίσματα ci. R. Schm. (cf. § 84): τὸ et ψήφισμα. — πολλὰ bis ponit pr. A[d]. — οὐδέποτε N Fr. — τῆς] τοῖς pr. A corr.[2] Ald. — ἐν τῷ N Mr.: ἐν.

102. ἢ ποῦ NA Bk.: ἤπου B, ὅπου v. —

παρακρούσεσθε τούτους ἀεὶ λέγοντες ὡς „οὐκ ἔστιν ἔξω τῆς πατρίδος ἡμῖν ἐξελθεῖν“, „οὐκ ἔστιν ἄλλη καταφυγὴ χωρὶς τῆς ὑμετέρας εὐνοίας“; φανεροὺς ἐχρῆν γεγενημένους ἀντιπράττοντας καὶ λόγῳ καὶ ἔργῳ τοῖς κατὰ τοῦ δήμου γραφομένοις ψηφίσμασιν, οὕτω πείθειν τούτους λέγοντας ὡς οὐκ ἔστιν ὑμῖν οὐδεμία σωτηρία χωρὶς τῆς παρὰ τοῦ δήμου βοη-
103 θείας. ὑμεῖς δ' ἐν τοῖς ἔξω τὰς ἐλπίδας ἔχετε, ἁμιλλώμενοι ταῖς κολακείαις πρὸς τοὺς ὁμολογοῦντας ὑπὲρ Ἀλεξάνδρου πράττειν καὶ δῶρα εἰληφέναι παρὰ τῶν αὐτῶν ὧνπερ νῦν ἀποπέφαγκεν ὑμᾶς ἡ βουλή. καὶ σὺ πάντων ἐναντίον τῶν Ἑλλήνων διειλεγμένος Νικάνορι, καὶ κεχρηματικὼς ἐν Ὀλυμπίᾳ περὶ ὧν ἐβουλήθης, ἐλεεινὸν νῦν σεαυτὸν κατασκευάζεις προδότης ὢν καὶ δωροδόκος, ὡς ἐπιλελησμένους τούτους τῆς σῆς πονηρίας, καὶ οὐ δώσων
104 δίκην ὑπὲρ ὧν εἴληψαι πεποιηκώς, τοσούτῳ τολμηρότερον Δημάδου, ὥσθ' ὁ μὲν προειρηκὼς ἐν τῷ δήμῳ τὸν ἑαυτοῦ τρόπον καὶ τὴν ἀπόνοιαν, καὶ ὁμολογῶν λαμβάνειν καὶ λήψεσθαι, ἴμως οὐ τετόλμηκε τούτοις δεῖξαι τὸ πρόσωπον, οὐδ' ἐναντία τῇ

www.libtool.com.cn

παρακρούσεσθε Mr. (ci. Bk. Wm.): παρακρούσησθε N, παρακρούσετε v. Παρακρούετε ci. Dobr.; παρακρούεσθε et ipse malim. — ἡμῖν ci. R. Dobr.: ὑμῖν. — ὑμετέρας NAB Bk. Turr. Mr.

103. δῶρα εἰληφέναι κτέ.] Demadem hic quoque dicit, cf. 104. — ἡμᾶς N sec. Thurl. — σὺ πάντων NA Turr. (ci. R.): συμπάντων. — ἐναντίον τῶν Ἑλλ. Mr.: ἐναντίων τ. Ἑ. N, τ. Ἑ. ἐναντίον v. — ἐπιλελησμένους ci. R. (ἐπιλησομένους Steph.): ἐπιμελησομένους.

104. τετόλμηκε τούτοις N Turr.: τετόλμηκεν αὐτοῖς. — ἐνδεῖξαι N. Loquitur de iis quae in contione acta sunt, cf. 89; nam in iudicium Demadem nondum venisse constat e § 105. —

τῆς βουλῆς ἀποφάσει λέγειν ἠξίωσε — καίτοι οὐκ ἔγραψεν ἐκεῖνος περὶ αὑτοῦ κυρίαν εἶναι τὴν βουλήν, οὐδὲ θάνατον ὡρίσατο, ἐὰν ἀποφανθῇ χρήματα εἰληφώς —· σὺ δὲ οὕτω σφόδρα πεπίστευκας τοῖς σεαυτοῦ λόγοις καὶ καταπεφρόνηκας τῆς τούτων εὐηθείας, ὥστε πείσειν οἴει τοὺς δικαστὰς ὡς μόνου σοῦ κατέψευσται τὸ συνέδριον καὶ μόνον οὐκ εἰληφότα σὲ τὸ χρυσίον ἀποπέφαγκεν. καὶ τίς ἂν ταῦτα πεισθείη;

www.libtool.com.cn

Ὁρᾶτε, ὦ Ἀθηναῖοι, τί μέλλετε ποιεῖν. παρειλή- 105
φατε παρὰ τοῦ δήμου τὸ πρᾶγμα, (αὐτοῦ) τὸ γεγενημένον εἰδότος, τιμωρίας δ' ἕνεκα τῆς κατὰ τῶν ἐνόχων ὄντων ταῖς ἀποφάσεσι. Δημοσθένης εἰσάγεται πρῶτος. κατηγορήκαμεν ἡμεῖς (οὐδὲν) οὐδενὶ καταχαρισάμενοι τῶν κοινῶν δικαίων. πότερ' ἀμε- 106
λήσαντες τῶν γεγενημένων ἁπάντων ἀφήσετε τὸν πρῶτον εἰσεληλυθότα πρὸς ὑμᾶς καὶ τὰ δίκαια [τὰ] παρὰ τῷ δήμῳ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου δόξαντ' εἶναι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, ταῦθ' ὑμεῖς οἱ κύριοι πάντων λύσετε, καὶ τὴν πονηρίαν αὐτοὶ τὴν τούτων ἀναδέξεσθε; ἢ πᾶσιν ἀνθρώ- 107
ποις παράδειγμα ἐξοίσετε κοινὸν ὑπὲρ τῆς πόλεως, ὅτι μισεῖτε τοὺς προδότας καὶ τοὺς χρημάτων ἕνεκα

post θάνατον addi ἑαυτῷ (εἶναι) τὴν ζημίαν mal. Mr. coll. § 61. Lyc. 65.

105. εἰδότος Emp.: εἶδος codd., ἤδη Ald. et edd. praeter Turr., qui ὄνειδος (αὐτοὶ γεγενημένον εἰδότες Scheibe). Punctum post ἀποφ. ipse posui. — (οὐδὲν) οὐδενὶ s. οὐδὲν ci. R.

106. τὰ post δίκαια del. S. Mr. coll. § 46. 84. — οἱ ante κύριοι add. N et supra v. A Bk. — ἀναδέξασθε LZM Ald. corr. B, ἀναδέξασθαι pr. B.

προϊεμένους τὰ τοῦ δήμου συμφέροντα; ταῦτα γὰρ ἅπαντά ἐστιν ἐφ' ὑμῖν νῦν, καὶ πεντακόσιοι καὶ χίλιοι ὄντες τὴν ἁπάσης τῆς πόλεως σωτηρίαν ἐν ταῖς χερσὶν ἔχετε, καὶ ἡ τήμερον ἡμέρα καὶ ἡ ὑμετέρα ψῆφος πολλὴν ἀσφάλειαν τῇ πόλει καταστήσει τὰ δίκαια ὑμῶν ἐθελόντων κρίνειν, ἢ μοχθηρὰς ἐλπίδας ἔχειν ποιήσει πάντας τοιαῦτα ὑμῶν ἔθη καθιστάντων.

www.libtool.com.cn

108 Οὐ καταπληκτέον ἐστίν, ἄνδρες Ἀθηναῖοι, οὐδὲ
104 προετέον, ἐὰν σωφρονῆτε, τοῖς Δημοσθένους | ἐλέοις τὴν κοινὴν καὶ δικαίαν ὑπὲρ τῆς πόλεως ἀπολογίαν. οὐδεὶς γὰρ ὑμῶν ἠνάγκαζε τοῦτον τὰ μὴ προσήκοντα χρήματα λαμβάνειν καθ' ὑμῶν, πολλῷ πλείω τῶν ἱκανῶν δι' ὑμᾶς ἕτερα κεκτημένον, οὐδ' ἀπολογεῖσθαι νῦν ὑπὲρ τῶν ὡμολογημένων ἀδικημάτων, γράψαντα καθ' ἑαυτοῦ θάνατον τὴν ζημίαν· ἀλλ' ἡ ἐκ τοῦ ἄλλου βίου ἔμφυτος αἰσχροκέρδεια καὶ πονηρία
109 ταῦτα εἰς τὴν κεφαλὴν αὐτῷ τέτραφε. μὴ οὖν ἄχθεσθε αὐτοῦ κλαίοντος καὶ ὀδυρομένου· πολὺ γὰρ ἂν δικαιότερον ἐλεήσαιτε τὴν χώραν, ἣν οὗτος εἰς τοὺς κινδύνους καθίστησιν τοιαῦτα πράττων, ἢ τοὺς ἐξ ἑαυτῆς γεγενημένους ὑμᾶς ἱκετεύει, παραστησαμένη τὰ ὑμέτερα τέκνα καὶ γυναῖκας, τιμωρήσασθαι τὸν

107. προϊεμένους AB Bk.: προιμένους N[m], προεμένους v. — ἐν τῇ πόλει N Mr. — ἔχειν ποιησ. πάντας N Mr.: ποιήσ. πάντ. ἔχειν. — ποιήσει Dobr.: ποιήσετε.

108. καταπλ.κτέον A pr. corr.[2]. — ἄνδρες N Mr.: ὦ ἄνδρες. cf. § 18. — ἀπολογίαν] τιμωρίαν ci. Bk. in Add.; sed cf. Mr. — λαμβάνειν ci. Wolf. rec. Turr.: λαμβάνοντα codd.; λαμβάνειν τὰ Ald. — ἀπολογεῖσθαι pr. A[d] (A sec. Bk.) et cum Wolf. R.: ἀπολεῖσθαι.

109. ἐλεήσαιτε Dobr. Bk.: ἐλεήσετε, quod revoc. Mr. — εἰς τοὺς κινδ. καθίστ. N Mr.: καθ. εἰς τ. κινδ. — ἡμᾶς pr. N. —

*προδότην καὶ σῴζειν ἑαυτήν, ὑπὲρ ἧς οἱ πρόγονοι
πολλοὺς καὶ καλοὺς κινδύνους ὑπομείναντες ἐλευθέ-
ραν αὐτὴν ὑμῖν παραδεδώκασιν, ἐν ᾗ πολλὰ καὶ καλὰ
παραδείγματα λέλειπται τῆς τῶν τελευτησάντων ἀρε-
τῆς. εἰς ταύτην ἀποβλέψαντας, ὦ Ἀθηναῖοι, καὶ τὰς* 110
*ἐν αὐτῇ γινομένας πατρίους θυσίας καὶ τὰς τῶν
προγόνων θήκας φέρειν δεῖ τοὺς εὖ φρονοῦντας τὴν
ψῆφον. καὶ ὅταν Δημοσθένης ἐξαπατῆσαι βουλό-
μενος καὶ παρακρουόμενος ὑμᾶς οἰκτίζηται καὶ δα-
κρύῃ, ὑμεῖς εἰς τὸ τῆς πόλεως σῶμα ἀποβλέψαντες
καὶ τὴν πρότερον δόξαν ὑπάρχουσαν αὐτῇ ἀντίθετε.
πότερον ἡ πόλις ἐλεεινοτέρα διὰ τοῦτον γέγονεν ἢ
διὰ τὴν πόλιν Δημοσθένης. εὑρήσετε γὰρ τοῦτον* 111
*μὲν λαμπρὸν ἐξ οὗ προσελήλυθε πρὸς τὸ πολιτεύε-
σθαι γεγενημένον, καὶ ἀντὶ μὲν λογογράφου καὶ μι-
σθοῦ τὰς δίκας λέγοντος ὑπὲρ Κτησίππου καὶ Φορ-
μίωνος καὶ ἑτέρων πολλῶν πλουσιώτατον ὄντα τῶν
ἐν τῇ πόλει, ἀντὶ δ' ἀγνῶτος καὶ οὐδεμίαν πατρικὴν
δόξαν παρὰ τῶν προγόνων παρειληφότος ἔνδοξον
γεγενημένον, τὴν δὲ πόλιν οὐκ ἀξίως ἑαυτῆς οὐδὲ
τῆς τῶν προγόνων δόξης διακειμένην. ἀφέντες οὖν*

www.libtool.com.cn

*πολλοὺς καὶ καλοὺς* N Mr.: *καλοὺς καὶ πολλοὺς* (*καλοὺς καὶ* mal. abesse Bait. coll. 3, 21; *πολλοὺς καὶ μεγάλους* ci. Bk.). — *αὐτὴν ὑμῖν* AB Bk.: *ὑμῖν αὐτὴν*.

110. Aut *ἐξαπατῶν καὶ παρακρουόμ.* aut *ἐξαπατῆσαι βουλ. καὶ παρακρούεσθαι* mal. R. — *ἡμᾶς* N. — *σῶμα*] *ἀξίωμα* Markl. Mr. coll. 3, 21. *Σῶμα τῆς πόλ.* exstat Hyp. I, col. 21, 24, sed sensu non prorsus eodem; [*ἀποβλέψαντες εἰς τὸ*] . . . *πρόςωπον τῆς πόλεως* idem dixisse videtur col. 32, 13. — *ὑπάρχουσαν αὐτῇ* N Mr.: *αὐτῇ ὑπάρχουσαν*. — *πότερον*] *προτερον* A pr.

111. *προςελήλυθε πρὸς* N Turr.: *προςελήλυθεν* (*προελ.* ZM) *εἰς* (*παρελήλ. εἰς* W.). — *πλουσιώτατον* N Turr.: *πλουσιώτερον*. — —

τοὺς ἐλέους καὶ τοὺς φενακισμοὺς τοὺς τούτου τὴν δικαίαν καὶ τὴν ὁσίαν φέρετε ψῆφον, καὶ σκοπεῖτε τὸ τῇ πατρίδι συμφέρον, μὴ τὸ Δημοσθένει· τοῦτο
112 γάρ ἐστι καλῶν κἀγαθῶν δικαστῶν ἔργον. καὶ ὅταν www.libtool.com.cn ἀναβαίνῃ τις συνηγορήσων Δημοσθένει, λογίζεσθε ὅτι οὗτος ὁ ἄνθρωπος, εἰ μὲν μὴ ἔνοχος ὢν ταῖς μελλούσαις ἀποφάσεσιν ἀναβαίνει, κακόνους ἐστὶ τῇ πολιτείᾳ, καὶ τοὺς ἐπὶ τῷ δήμῳ δῶρα λαμβάνοντας οὐ βουλόμενος δίκην δοῦναι, καὶ τὴν κοινὴν τῶν ὑμετέρων σωμάτων φυλακήν, ἐφ᾽ ᾗ τέτακται τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, καταλυθῆναι βούλεται καὶ συγκεχύσθαι πάντα τὰ ἐν τῇ πόλει δίκαια· εἰ δὲ ῥήτωρ ἢ στρατηγός, οἳ τὴν προσδοκωμένην καθ᾽ αὑτῶν ἀπόφασιν ἄπιστον βουλόμενοι γενέσθαι συνηγοροῦσιν, οὐ προσεκτέον ὑμῖν ἐστι τοῖς τούτων λόγοις, εἰδότας ὅτι ἐκ πάντων τούτων γεγένηται συνεργία περὶ τὸν Ἁρπάλου κατάπλουν καὶ τὴν ἄφεσιν.
113 νομίσαντες οὖν ὦ Ἀθηναῖοι καθ᾽ ὑμῶν πάντας τούτους ἀναβαίνειν καὶ κοινοὺς ἐχθροὺς εἶναι τῶν νόμων καὶ τῆς πόλεως ἁπάσης, μὴ ἀποδέχεσθε αὐτῶν, ἀλλὰ (αὐτὸν) κελεύετε ἀπολογεῖσθαι περὶ τῶν κατηγορημένων· μηδὲ τὴν αὐτοῦ τούτου μανίαν, ὃς μέγα φρονεῖ ἐπὶ τῷ δύνασθαι λέγειν, καὶ ἐπειδὰν φανερὸς ὑμῖν γένηται δωροδοκῶν, ἔτι μᾶλλον ἐξελήλεγκται φενακίζων ὑμᾶς, (ἀλλὰ) τιμωρήσασθε ὑμῶν

τὴν δικαίαν καὶ τὴν ὁσίαν N Mr.: τὴν ὁσίαν καὶ δικαίαν. cf. 2, 20. — μὴ τὸ] μὴ τῷ NZM. — καλὸν κἀγαθὸν N.

112. vv. λογίζεσθε — ἄνθρ. in mg. hab. N. — προσδοκωμένην καθ᾽ αὑτῶν N Mr.: καθ᾽ αὑτῶν προσδοκ. — γεγένηται Mr.: γίνεται.

113. φανερῶς N. — ἔτι NAB, et ci. Wolf.: ὅτι. — φ.νακίζων A pr. corr.[2] (φαινακ. fuerit). —

*αὐτῶν καὶ τῆς πόλεως ἀξίως. εἰ δὲ μή, μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι πάντας τοὺς ἀποπεφασμένους καὶ τοὺς μέλλοντας ἀφέντες εἰς ὑμᾶς αὐτοὺς καὶ τὸν δῆμον τὴν τούτων δωροδοκίαν τρέψετε, κᾆθ᾽ ὕστερον ἐγκαλεῖτε τοῖς ἀφεῖσιν, ὅτε οὐδὲν ἔσται πλέον ὑμῖν.*

www.libtool.com.cn

*Ἐγὼ μὲν οὖν, ὅσον εἰς τὸ μέρος τοὐμὸν τῆς κα-* 114
*τηγορίας ἥκει, βεβοήθηκα, τἆλλα πάντα παριδὼν πλὴν τοῦ δικαίου καὶ τοῦ συμφέροντος ὑμῖν. οὐκ ἐγκαταλέλοιπα τὴν πόλιν, οὐ χάριν προὐργιαιτέραν τῆς τοῦ δήμου χειροτονίας ἐποιησάμην. ἀξιῶν δὲ καὶ ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν παραδίδωμι τὸ ὕδωρ τοῖς ἄλλοις κατηγόροις.*

## 2.

## | ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ. 105

*Πάνθ᾽, ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, προσδοκητέα ἐστὶ καὶ ἀκοῦσαι καὶ ἰδεῖν ἐν ταῖς γεγενημέναις ἀποφάσεσι· θαυμασιώτατον δὲ πάντων, ὡς ἐμοὶ δοκεῖ, τὸ νῦν γινόμενον. ὁ γὰρ πονηρότατος τῶν ἐν τῇ πόλει, μᾶλλον δὲ καὶ τῶν ἄλλων ἀνθρώπων, Ἀριστογείτων διαδικασόμενος ἥκει τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ ἀληθείας καὶ δικαιοσύνης, καὶ νυνὶ μείζονα κίνδυνον ἡ τὴν ἀπόφασιν πεποιημένη βουλὴ*

*ἀλλὰ* addendum censuit R. — *κᾆθ᾽* scr.: *κἂν* rc. N et AB Mr.; *καὶ* v. — *ἐγκαλῆτε* N Mr. — *αὐτοῖς* post *ἐγκαλ.* addi mal. Dobr.: quo facto certe *τοῖς* delendum erit.

Or. II, 1. Verba *Πάνθ᾽ ὡς ἔοικεν ὦ ἄνδρες* ut initium orationis affert Dion. Dinarch. c. 10. — num *τἀπροσδόκητα?* — *τῇ* et *βουλῇ* NA Bk.: *τὴν* — *βουλὴ* B, *τὴν* — *βουλὴν* v.

*κινδυνεύει ἢ ὁ δῶρα λαμβάνων καθ' ὑμῶν καὶ τὴν*
*ὑπὲρ τῶν δικαίων παρρησίαν ἀποδόμενος εἴκοσι*
2 *μνῶν. τούτῳ μέν γε καινὸν οὐδὲν οὐδὲ δεινόν, ἐὰν*
*ἁλῷ, συμβήσεται· καὶ γὰρ θανάτου ἄξια πολλὰ πρό-*
*τερον ἕτερα διαπέπρακται, καὶ ἐν τῷ δεσμωτηρίῳ*
*πλείω χρόνον ἢ ἔξω διατέτριφε, καὶ ὀφείλων τῷ δη-*
*μοσίῳ κατὰ τῶν ἐπιτίμων γέγραφεν οὐκ ἐξὸν αὐτῷ,*
*καὶ ἕτερα πολλὰ καὶ δεινὰ πεποίηκε, περὶ ὧν ὑμεῖς*
*ἀκριβέστερον ἐμοῦ γιγνώσκετε· τῇ δὲ βουλῇ τὸ δόξαι*
*τὰ ψευδῆ κατὰ Ἀριστογείτονος ἀποφαίνειν καὶ τοῦ-*
*τον ἐκείνης ὑποληφθῆναι παρ' ὑμῖν δικαιότερα λέ-*
3 *γειν τῶν αἰσχίστων καὶ δεινοτάτων ἐστί. διόπερ ὦ*
*Ἀθηναῖοι οὗτός μοι δοκεῖ, τὸν ἀγῶνα ἀσφαλῆ νομί-*
*ζων αὐτῷ εἶναι, διαπειρασόμενος ἥκειν τῆς ὑμετέρας*
*γνώμης· ἅπαντα γὰρ αὐτῷ πολλάκις τὰ δεινὰ συμβέ-*
*βηκε, πλὴν τοῦ ἀποθανεῖν. τοῦτο δ', ἂν θεὸς θέλῃ*
*καὶ ὑμεῖς σωφρονῆτε, ἐν τῇ τήμερον ἡμέρᾳ συμβή-*
*σεται. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα βελτίω γενήσεσθ'*
*αὐτὸν προσδοκᾶτε συγγνώμης νυνὶ τυγχάνοντα παρ'*
*ὑμῶν, οὐδὲ τὸ λοιπὸν ἀφέξεσθαι τοῦ λαμβάνειν χρή-*
*ματα καθ' ὑμῶν, ἐὰν νῦν ἀφῆτε αὐτόν. πονηρίαν*
*γὰρ ἀρχομένην μὲν κωλῦσαι τάχ' ἄν τις κολάζων*
*δυνηθείη, ἐγκαταγεγηρακυῖαν δὲ καὶ γεγευμένην τῶν*
4 *εἰθισμένων τιμωριῶν ἀδύνατον εἶναι λέγουσιν. εἰ*

www.libtool.com.cn

*λαμβάνων*] *λαβών*? sed cf. 15. 20. 24. 26.

2. *ὑμεῖς ἀκριβέστερον* N Mr.: *ἀκριβέστερον ὑμεῖς*. — *τὰ ψευδῆ* dedisse videtur pr. A: *καὶ ψευδῆ* N, *ψευδῆ* v. — *ὑποληφθῆναι παρ' ὑμῖν* N Mr.: *παρ' ὑμῖν ὑπ.* v.

3. *ἀσφαλῆ νομ. αὐτῷ εἶναι* N Mr.: *αὐτῷ* (*αὐτῶν* BZM) *ἀσφ. εἶναι νομ.* — *γενήσεσθ'* N[m]: *γενήσεσθαι*. — *τάχ' ἂν* mal. Bk. Dobr. rec. Turr.: *τάχα*. — *γεγευμένην* B Bk. et ci. Steph. Iungerm.: *γεγενημένην*.

μὲν οὖν ἐγγενήσεσθαι βούλεσθε δευσοποιὸν ἐν τῇ
πόλει πονηρίαν, διαφυλάττειν ὑμᾶς Ἀριστογείτονα
δεῖ, καὶ ἐᾶν ὅ τι ἂν [τις] βούληται ἐν τῇ πόλει δια-
πράττεσθαι· εἰ δὲ τοὺς πονηροὺς καὶ καταράτους
ἀνθρώπους μισεῖτε, καὶ ἔστιν ὑμῖν ὀργὴ καὶ μνήμη
τῶν πρότερον ὑπὸ τούτου πεπραγμένων, ἀποκτεί-
νατε τοῦτον, ὃς παρ' Ἁρπάλου λαβεῖν χρήματα
ἐτόλμησεν, ὃν ᾔσθεθ' ἥκειν καταληψόμενον τὴν πό-
λιν ὑμῶν, καὶ τὰς προφάσεις καὶ τοὺς φενακισμοὺς
ἐκκόψατε αὐτοῦ· τούτοις γὰρ ἥκει πιστεύων πρὸς
ὑμᾶς.

Ἆρ' ἴστε ὅτι τῆς Ἁρπάλου ἀφίξεως δυσχεροῦς 5
οὔσης ἐκεῖνο συμβέβηκεν εὐτύχημα τῇ πόλει, διότι
πεῖραν εἰλήφατ' ἀκριβῆ τῶν ἕνεκ' ἀργυρίου καὶ χρυ-
σίου πάντα προϊεμένων τοῖς τῆς πόλεως ἐχθροῖς; μὴ
καταρρᾳθυμήσητε ὦ Ἀθηναῖοι, μηδ' ἀπείπητε τιμω-
ρούμενοι τοὺς πονηρούς, ἀλλ' ἐκκαθάρατε, καθ' ὅσον
δυνατόν ἐστι, τὴν δωροδοκίαν ἐκ τῆς πόλεως. καὶ
μὴ τῶν παρ' ἐμοῦ λόγων ἀκούειν ζητήσητε, φανερῶν
ὑμῖν γεγενημένων τῶν ἀδικημάτων κατὰ τῶν ὑπὸ
τῆς βουλῆς ἀποπεφασμένων. τί γὰρ ἀγνοεῖτε δι' ὃ 6

www.libtool.com.cn

4. δευσοποιὸν πονηρίαν] cf. B. A. I p. 237; Suid. s. v. δευσ. — τις abesse mal. Bk. Schm. — ᾔσθεθ' N$^{m}$A Bk.: ᾔσθεσθ'. — ὑμῶν N$^{m}$A Bk.: ἡμῶν.

5. πάντα προϊεμένων N Mr.: προϊεμ. πάντα. ἂν desid. Dobr. — ἐκκαθήρατε S. — ζητήσετε N. — κατὰ τῶν N et pr. A: ἐκ τῶν A corr.$^{2}$ v. Cf. § 7 init. 6 init.; 3, 20; 1, 6. — ὑπὸ sup. vers. hab. A$^{d}$ a pr. m.

6. Post ἀποπεφασμ. vulgo sequebantur haec: ἢ διὰ τοὺς τοῦ κρινομένου (ita NA Bk.: ἢ διὰ τοὺς κρινομένους v.) προγόνους καὶ (διὰ add. N) τὴν αὐτοῦ μετριότητα, καὶ ὅτι ὑμᾶς πολλὰ (πολλὰ ὑμᾶς N) καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀγαθὰ εἴργασται, ἄξιον (ἔστιν add. N) αὐτοῦ φείσασθαι; quae coll. § 8 cum Bk. del. Turr. —

δεῖσθε λόγων ἀκούειν κατὰ τοῦ νῦν κρινομένου; πότερ' ἡ τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν ἡμεῖς οἱ κατήγοροι δέκα ὄντες τὸ ὕδωρ ἀναλώσωμεν ἅπαν καὶ ἀναβοήσωμεν ὡς δεινὸν ἀφεῖσθαί ἐστιν τοὺς εἰλημμένους ἔχοντας ἐπ' αὐτοφώρῳ δῶρα κατὰ τῆς πατρίδος, ἀληθὴς καὶ δικαία ἔσται ἡ κατ' Ἀριστογείτονος

www.libtool.com.cn

7 [ἀπόφασις], ἐὰν δ' ἕκαστος ἡμῶν, ὡς εἰδότων ὑμῶν πάντα οὐδὲν ἧττον ἡμῶν τὰ δίκαια περὶ τουτωνὶ τῶν

106 ἀγώνων, βραχέα εἰπὼν καταβῇ, | ψευδής, καὶ (οὐ δικαίως) οὐδὲ ἴσως παρὰ τῶν Ἀρεοπαγιτῶν γεγενημένη; ἢ τὸ δῶρα λαμβάνειν ἐπὶ προδοσίᾳ τῶν τῆς πόλεως συμφερόντων οὐκ ἴσθ' ὅτι τῶν δεινοτάτων ἐστὶ καὶ τῶν πλεῖστα κακὰ τὰς πόλεις ἐργαζομένων;

8 Ἀλλ' αὐτὸς ὁ κρινόμενος νὴ Δία μέτριος τὸν τρόπον, καὶ προγόνων χρηστῶν, καὶ πολλὰ ὑμᾶς καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀγαθὰ εἰργασμένος, ὥστε διὰ ταῦτ' ἄξιόν ἐστιν αὐτοῦ φείσασθαι; καὶ τίς ὑμῶν οὐ πολλάκις ἀκήκοεν ὅτι Κυδιμάχου μὲν τοῦ πατρὸς τοῦ Ἀριστογείτονος θανάτου καταγνωσθέντος καὶ φυγόντος ἐκ ταύτης τῆς πόλεως ὁ χρηστὸς οὗτος υἱὸς περιεῖδε τὸν αὑτοῦ πατέρα καὶ ζῶντα τῶν ἀναγκαίων

ἀφεῖσθαί ἐστιν N Mr.: ἐστιν ἀφεῖσθαι. ἀφίεσθαι mal. Turr. — ἔσται post δικαία collocant N Mr.: post Ἀριστ. cett. — ἡ κατ' Ἀρ. ἀπ. del. vult Dobr.; ἀπόφασις coll. 3, 5 del. Mr.

7. καὶ οὐ δικαίως οὐδὲ ἴσως scripsi: καὶ οὐδεὶς ὡς N et A pr.; καὶ οὐδεὶς ταύτῃ πιστεύσει ὡς A corr. (fort. corr.²) et v. — γεγενημένη scr.: γεγενημένῃ. — ἢ] καὶ ἢ B, καὶ εἰ ZM.

8. cf. adnot. ad § 6. — ὑμᾶς N Bk. absque codicum mentione: ἡμᾶς v. ante Bk. Dobs. — ἀγαθὰ § 6: καλὰ (cf. And. 2, 17). — ταῦτ' scr.: τοῦτ'. — Κυδιμάχου N et cum R Bk.: τοῦ Κυδιμ.

σπανίζοντα καὶ τελευτήσαντα οὐ τυχόντα τῶν νομί-
μων, ἅπερ αὐτοῦ πολλάκις κατεμαρτυρεῖτο· αὐτὸν 9
δὲ τοῦτον, ὅτ' εἰς τὸ δεσμωτήριον τὸ πρῶτον ἀπήχθη
— πολλάκις γὰρ ἴστε δήπου τοῦτο γεγενημένον —,
τοιαῦτα τολμήσαντα ποιεῖν αὐτοῦ, ὥστ' ἐκείνους ἀπο-
ψηφίσασθαι μήτε πῦρ ἐναύειν τούτῳ μήτε συσσιτεῖν
μηδένα μήτε θυσιῶν τῶν γινομένων κοινωνεῖν. καί-
τοι ὦ Ἀθηναῖοι τίνα χρὴ τοῦτον νομίζειν διάνοιαν
ἔχειν, ὃς διὰ μὲν πονηρίαν εἰς τὸ δεσμωτήριον ἐνέ-
πεσεν, ἐκεῖ δ' ὢν παρὰ τοῖς ἐκ τῶν ἄλλων ἀνθρώπων 10
κακούργοις ἀπηγμένοις οὕτως εἶναι πονηρὸς ἔδοξεν,
ὥστε μηδ' ἐκεῖ τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις, ἀλλὰ
κλέπτην, ὥς φασι, ληφθέντα τουτονὶ παρ' ἐκείνοις,
εἰ ἦν ἕτερός τις τόπος ἀνοσιώτερος, ἵνα ἐξῆν ἀπά-
γειν τοὺς ἐκ τοῦ δεσμωτηρίου κλέπτοντας, εἰς ἐκεῖνον
ἂν τοῦτο τὸ θηρίον ἀπαχθῆναι. καὶ ταῦθ', ἅπερ ἀρ-
τίως εἶπον, τίς οὐκ οἶδε καταμαρτυρηθέντα Ἀριστο-
γείτονος, ὅτ' ἐμπορίου ἐπιμελητὴς λαχὼν ἀπεδοκι-
μάσθη ὑπὸ τῶν τότε δικαζόντων ἄρχειν ταύτην τὴν
ἀρχήν; ἔπειτ' εἰρωνεύεσθε πρὸς ὑμᾶς αὐτούς, καὶ 11
περὶ Ἀριστογείτονος μέλλοντες φέρειν τὴν ψῆφον
ἐλεεῖτε, ὃς τὸν αὑτοῦ πατέρα κακῶς διατιθέμενον
ὑπὸ τοῦ λιμοῦ οὐκ ἠλέησεν; ἔπειτα παρ' ἡμῶν ἔτι
λόγους ἀκούειν βούλεσθε περὶ τῆς Ἀριστογείτονος

9. *δήπου τοῦτο* N Mr.: *τοῦτο δήπου.* — *αὐτοῦ* cum Wm. Turr.: *αὐτούς*, quod def. Mr. — *διάνοιαν ἔχειν* N Mr.: *ἔχειν διάνοιαν.*

10. *ἀπηγμένοις* cum Wm. Turr.: *ἀνηγμένοις.* — *μηδ' ἐκεῖ* Dobr. (sive *μηδὲ* del. *ἐκ.*): *μηδ' ἐκείνοις.* — *ἐκ τοῦ* N Mr.: *ἐκ.* — *ταύτην τὴν* Turr. (ci. Emp. Meier.): *αὐτὴν τὴν* N, *τὴν αὐτὴν* v.

11. *τοῦ λιμοῦ* N Mr.: *λιμοῦ.* —



www.libtool.com.cn

*τιμήσεως, ὃν ἴστε ἀκριβῶς ὅτι δικαίως ἂν καὶ ἐκ τοῦ
ἄλλου βίου καὶ ἐκ τῶν νῦν αὐτῷ πεπραγμένων τῆς*
12 *ἐσχάτης τύχοι τιμωρίας; οὐκ Ἀριστογείτων ἐστίν, ὦ
Ἀθηναῖοι, ὁ κατὰ τῆς ἱερείας τῆς Ἀρτέμιδος τῆς
Βραυρωνίας καὶ τῶν οἰκείων αὐτῆς τοιαῦτα γράψας
καὶ ψευσάμενος, ὥσθ' ὑμᾶς, ἐπειδὴ τὴν ἀλήθειαν
ἐπύθεσθε παρὰ τῶν κατηγόρων, πέντε ταλάντων τι-
μῆσαι τούτῳ, ὅσονπερ ἦν ἐπὶ τῇ τῶν παρανόμων
γραφῇ τίμημα ἐπιγεγραμμένον; οὐχ οὗτος πρὶν ἐκτῖ-
σαι τοῦτο, συκοφαντῶν τὸν ἐντυγχάνοντα ὑμῶν καὶ
λέγων καὶ γράφων ἐν τῷ δήμῳ διατετέλεκε, καὶ κα-
ταφρονῶν ἁπασῶν τῶν τιμωριῶν αἳ κατὰ τῶν ἀδι-*
13 *κούντων ἐν τοῖς νόμοις εἰσὶ γεγραμμέναι; οὐ τὸ
τελευταῖον οὗτος ἐνδειχθεὶς ὑπὸ Λυκούργου, καὶ
ἐξελεγχθεὶς ὀφείλων τῷ δημοσίῳ λέγειν οὐκ ἐξὸν
αὐτῷ, καὶ παραδοθεὶς τοῖς ἕνδεκα κατὰ τοὺς νόμους,
περιπατῶν ἔμπροσθεν τῶν δικαστηρίων ..... καὶ
εἰς τὴν προεδρίαν τῶν πρυτάνεων ἐκάθιζεν;*

www.libtool.com.cn

14 *Εἶτ' ὦ ἄνδρες Ἀθηναῖοι, ὃν οἱ νόμοι μὲν πολ-
λάκις ὑμῖν παραδεδώκασι τιμωρήσασθαι, κατεψηφι-
σμένον (δ') ὑπὸ τῶν πολιτῶν καὶ δεθέντα φυλάξαι*

*τύχη* $A^d$.

12. *Βραυρωνίας* Mkl. R: *βαυβρωνίας* $N^m$ (*βραυβρ.* N sec. Th.) AZ et corr. B, *βαβρωνίας* B pr., *βαμβρωνίας* M. — *τίμημα* ante *τιμῆσαι* add. A pr. — *τούτῳ* N et cum Steph. Turr.: *τοῦτον*. — *οὐχ οὗτος* cum Schm. et Dobr. Mr.: *ὁ οὗτος*. Contra Bk. secludit *τοῦτο*.

13. Post *δικαστ.* R. intercidisse putat *ὤφθη* vel *ἑωρᾶτο*. — *προεδρείαν* N et pr. A. — *τῶν πρυτ.*] *τὴν πρ.* N; num *τὴν τῶν πρ.*? — *ἐγκαθίζων* mal. R.

14. *κατεψηφ. κτέ.*] dedi locum ex coni. S., nisi quod *δεθέντα* pro eo quod ille proposuit *ἀπαχθέντα* scripsi. *Κατεψ. ὑπὸ τ. π. διδαχθέντες φυλάξαι δ' οὔθ' κτέ.* NABZM; v. pro *διδ.* praebet *ἐνδειχθέντα* (*εἱρχθέντα* Emp.). Fr. ita

οὔθ' οἱ ἕνδεκα δεδύνηνται οὔτε τὸ δεσμωτήριον, τούτῳ βουλήσεσθε συμβούλῳ χρῆσθαι; καὶ ὁ μὲν νόμος εὐξάμενον κελεύει τὸν κήρυκα μετ' εὐφημίας πολλῆς, οὕτως ὑμῖν τὸ βουλεύεσθαι περὶ τῶν πραγμάτων παραδιδόναι· ὑμεῖς δὲ τὸν ἀνόσιον καὶ περὶ πάντας πονηρὸν καὶ μάλιστα περὶ τὸν ἑαυτοῦ πατέρα γεγενημένον, τοῦτον μεθ' ὑμῶν καὶ μετὰ τῶν ὑμετέρων οἰκείων καὶ συγγενῶν ἐάσετε πολιτεύεσθαι;
www.libtool.com.cn
καὶ Δημάδῃ μὲν καὶ Δημοσθένει οὐδεμίαν ᾤεσθε δεῖν 15
συγγνώμην ἔχειν, ὅτι δῶρα καθ' ὑμῶν ἐξηλέγχθησαν λαμβάνοντες, ἀλλ' ἐτιμωρήσασθε, καὶ δικαίως, οἷς εἰ μὴ πάντα ἀλλὰ πολλά γε σύνιστε χρήσιμα πεπολιτευμένοις· τὸν δὲ κατάρατον τοῦτον, ὃς ἀγαθὸν μὲν
ὑμᾶς οὐδὲ πώποτε πεποίηκεν ἐξ οὗ πρὸς τὴν | πόλιν 107
προσελήλυθε, κακὸν δ' ὅ τι δυνατός ἐστιν, ἀφήσετε; καὶ τίς οὐκ ἂν ἐγκαλέσειεν ὑμῖν τοῖς τοῦτον προσδεχομένοις σύμβουλον; ὅταν γὰρ ἄνθρωπος γνώριμον καὶ φανερὰν καὶ περιβόητον τὴν πονηρίαν παρὰ πᾶσι τοῖς πολίταις ἔχων ἐν ὑμῖν δημηγορῇ, τότε τοὺς ἀκούοντας ὑμᾶς οἱ περιεστηκότες θαυμάζουσι, πότερα βελτίους οὐκ ἔχετε συμβούλους ἢ καὶ χαίρετε τῶν
τοιούτων ἀκούοντες. χρὴ δέ, ὦ Ἀθηναῖοι, ὥσπερ οἱ 16

locum constituit: — — τιμωρήσασθαι ὑπὸ τ. π. ἐνδειχθέντα, φυλ. δ' οὔθ' κτἑ., deleto voc. κατεψ., quod etiam post φυλ. δὲ transponere possis. — εὐξάμενος N.

15. mal. (ὀρθῶς) καὶ δικαίως. — συνῆστε Hi. — πεπολιτευμένοις N: πολιτευομένοις. — οὐδεπώποτε πεποίηκεν Mr.: οὐδέποτε πεπ. N, πεπ. οὐδεπώποτε v. Οὐδὲν οὐδεπώπ. ci. Bk., οὐδὲν πώποτε Wm. Cb.; v. Mr. — πόλιν ABZM et Nm; rec. Mr. coll. Dem. in Theocr. 30: πολιτείαν. — προσδεχομένοις N Mr.: δεχομένοις. — γνώριμον καὶ φανερὰν ci. R.: γνώριμος καὶ φανερὸς. — ἐν ὑμῖν add. N Mr. — θαυμάζουσι ZM Bk. Turr.: θαυμάσουσι. — πότερα N Mr.: πότερον. — τὸν τοιοῦτον N.

πρῶτοι νομοθέται περὶ τῶν ἐν τῷ δήμῳ λεγόντων τοῖς προγόνοις ὑμῶν ἐνομοθέτησαν, οὕτω καὶ ὑμᾶς ζητεῖν ἀκούειν, ἵνα βελτίους τοὺς προσιόντας ὑμῖν ποιήσητε. πῶς οὖν ἐκεῖνοι περὶ τούτων ἐγίγνωσκον; www.libtool.com.cn πρῶτον μὲν καθ' ἑκάστην (ἐκκλησίαν) δημοσίᾳ κατὰ τῶν πονηρῶν ἀρὰς ποιούμενοι, εἴ τις δῶρα λαμβάνων μετὰ ταῦτα λέγει καὶ γιγνώσκει περὶ τῶν πραγμάτων, ἐξώλη τοῦτον εἶναι· ὧν οὗτος νῦν ἐστιν
17 Ἀριστογείτων· ἔπειτα ἐν τοῖς νόμοις δώρων γραφὰς ποιήσαντες, καὶ κατὰ μόνου τούτου τῶν ἀδικημάτων δεκαπλασίαν ἐπιτιθέντες τοῦ τιμήματος τὴν ἔκτισιν, ἡγούμενοι τὸν τιμὴν λαμβάνοντα τῶν ἐν τῷ δήμῳ ῥηθήσεσθαι μελλόντων λόγων, τοῦτον οὐχ ὑπὲρ τῶν τοῦ δήμου βελτίστων ἀλλ' ὑπὲρ τῶν τοῖς δοῦσι συμφερόντων δημηγορεῖν· Ἀριστογείτονα τοίνυν ἡ βουλὴ ἀποπέφαγκε· πρὸς δὲ τούτοις ἀνακρίνοντες τοὺς τῶν κοινῶν τι μέλλοντας διοικεῖν, τίς ἐστι τὸν ἴδιον τρόπον, εἰ γονέας εὖ ποιεῖ, εἰ τὰς στρατείας ὑπὲρ τῆς πόλεως ἐστράτευται, εἰ ἱερὰ πατρῷα ἔστιν,
18 εἰ τὰ τέλη τελεῖ· ὧν οὐδὲν ἂν ἔχοι δεῖξαι συμβεβη-

16. ὑμῶν N Mr.: ἡμῶν. — ποιήσετε N^m. — ἐκκλησίαν h. l. cum Dobr. add. Mr. coll. 1, 42. 47; ante ἑκ. addi mal. S. — δημοσίᾳ] vel καὶ vel τὴν δημοσίαν ded. vid. pr. A^d. — κατὰ τῶν πον. ἀρ. ποιούμ. N Mr.: ἀρ. ποιούμ. κ. τ. πον. — γιγνώσκῃ N sec. Thurl.

17. ἐν τοῖς βωμοῖς NM; ἐν βωμοῖς v. ante Bk. — τιμήματος] λήμματος Bk. Turr. coll. 1, 60. Sed h. l. τίμημα aestimatio litis ab accusatore facta esse videtur: cf. § 12. Dem. Tim. 114 διπλάσιον ἀποδιδόναι τὸ τιμηθέν, et Hyp. 1, col. 20, 19. Aliter sane Dem. l. c. 82 sq. — ἀνακρίνοντες scripsi coll. ποιούμενοι § 16: ἀνακρίναντες. — ἐστι cum R. Turr.: ἔσται. — εἰ ἱερὰ] εἰς τὰ ἱερὰ ded. vid. pr. A^d. Pro ἱερὰ cum Vales. et Meier. ἠρία scr. Turr. coll. § 18; vulg. def. Mr.

18. δεῖξαι post ἔχοι hab. N Mr., post αὐτῷ v. —

κὸς Ἀριστογείτων αὐτῷ. ἀντὶ μὲν γὰρ τοῦ γονέας εὖ ποιεῖν κακῶς οὗτος τὸν ἑαυτοῦ πατέρα πεποίηκεν· ὅτε δ' ὑμεῖς ἐστρατεύεσθε πάντες, οὗτος ἦν ἐν τῷ δεσμωτηρίῳ· τοσοῦτον δ' ἀπολέλοιπε τοῦ πατρὸς μνῆμά τι ἔχειν ὦ Ἀθηναῖοι δεῖξαι, ὥστ' οὐδ' ἐν Ἐρετρίᾳ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος ἐκεῖ τὰ νομιζόμενα ἐποίησεν αὐτῷ· τῶν δ' ἄλλων Ἀθηναίων εἰσφερόντων ἐκ τῶν ἰδίων οὗτος οὐδὲ τῶν δημοσίων καὶ ὧν ὦφλεν τὸ ἀργύριον ἅπαν ἐκτέτικεν. ἁπλῶς 19
δ' εἰπεῖν, ἐναντία τοῖς νόμοις ἅπασι πράττων διατετέλεκε, καὶ τοῦτον μόνον ἡ ἐξ Ἀρείου πάγου βουλὴ αὐτοῖς ἐξητηκόσι καὶ εἰδόσιν ἀποπέφαγκεν· οὐ γὰρ παρ' ἐκείνης ὑμεῖς πυθόμενοι τοῦτον ἴστε πονηρὸν καὶ ἄδικον ὄντα, ἀλλὰ ἕκαστος ὑμῶν ἀκριβῶς οἶδε τὴν τούτου πονηρίαν. ὥστε τὸ πολλάκις λεγόμενον ἀληθὲς εἰπεῖν ἐστιν, ὅτι περὶ μὲν τούτου τὴν ψῆφον ὑμεῖς μέλλετε φέρειν, περὶ δ' ὑμῶν οἱ περιεστηκότες καὶ οἱ ἄλλοι πάντες.

Διὸ καὶ σωφρόνων ἐστὶ δικαστῶν, ὦ Ἀθηναῖοι, 20
μήθ' ὑμῖν αὐτοῖς ἐναντίαν ἐνεγκεῖν τὴν ψῆφον μήτε πᾶσι τοῖς ἄλλοις Ἀθηναίοις, ἀλλ' ὁμοθυμαδὸν καταψηφισαμένους πάντας παραδοῦναι τοῖς ἐπὶ τοῦτο τεταγμένοις θανάτῳ ζημιῶσαι, καὶ μὴ προέσθαι [καὶ μὴ προδοῦναι] τὴν ὁσίαν καὶ τὴν εὔορκον ψῆφον,

www.libtool.com.cn

τοῦ γονέας N $A^d$ Bk.: τοὺς γονέας. — οὐδὲ τῶν N Turr.: οὐδ' ἐκ τῶν.

19. αὐτοῖς scripsi: τοῖς. — πονηρίαν] μοχθηρίαν Ald., quod praef. Wm. coll. Phot. lex. p. 277: καὶ μοχθηρία ἐπὶ τῆς κακίας τέτακται. οὕτω Δείν. cf. v. l. Ant. 4 β 4. — οἱ ἄλλοι] οἱ supra v. add. a pr. $A^d$.

20. παραδοῦναι (τοῦτον) cum Schm. Mr. — ἐπὶ τοῦτο NB et A corr. Turr.: ἐπὶ τούτῳ Z Bk., ἐπὶ τοῦτον v. — καὶ μὴ προδοῦναι del. mal. Mr. — ὁσίαν Bk. in Add. Dobr.

ἀναμνησθέντας ὅτι τούτου κατέγνωκεν ἡ βουλὴ δῶρα
λαμβάνειν καθ᾽ ὑμῶν, τούτου κατέγνωκεν ὁ πατὴρ
καὶ ζῶν καὶ τελευτήσας ἀδικεῖν ἑαυτόν, [καὶ] ἵνα τὸ
πρᾳότατον εἴπω τῶν ὀνομάτων, τούτου καταχειροτο-
21 νήσας ὁ δῆμος παραδέδωκεν ὑμῖν τιμωρήσασθαι, οὗ-
τος πολλὰ κακὰ διαπεπραγμένος ἐπὶ τοιούτοις εἴλη-
πται πράγμασι νῦν ἀδικῶν, ἐφ᾽ οἷς αἰσχρόν ἐστιν
ὑμῖν τοῖς δικάζουσιν ἀτιμώρητον ἐᾶσαι τοῦτον. τίνα
γὰρ τρόπον, ὦ Ἀθηναῖοι, περὶ τῶν ἄλλων ἀποφάσεων
οἴσετε τὴν ψῆφον; ἢ διὰ τίνας προφάσεις τῶν ἤδη
κεκριμένων ἔσεσθε κατεψηφισμένοι; ἢ διὰ τί τὸ μὲν
ἀποφαίνειν τὴν βουλὴν τοὺς εἰληφότας τὰ χρήματα
φανεῖσθε σπουδάζοντες, τὸ δὲ τιμωρεῖσθαι τοὺς ἀπο-
22 πεφασμένους ἐῶντες; μὴ γὰρ ἰδίους τοὺς ἀγῶνας
τούτους ὑπολάβητε εἶναι κατὰ τῶν νῦν ἀποπεφασμέ-
νων μόνων, ἀλλὰ κοινοὺς καὶ κατὰ τῶν ἄλλων ἀν-
θρώπων. δωροδοκία γὰρ καὶ προδοσία κρινομένη
παρ᾽ ὑμῖν δυοῖν θάτερον ἐκ τοῦ λοιποῦ χρόνου
ποιήσει τοὺς ἄλλους, ἢ χρήματα λαμβάνειν καθ᾽ |
108 ὑμῶν θαρροῦντας ὡς οὐ δώσοντας δίκην, ἢ φοβεῖ-
σθαι τὸ λαμβάνειν ὡς τῆς τιμωρίας τοῖς ληφθεῖσιν
23 ἀξίας γενησομένης τῶν ἀδικημάτων. οὐκ ἴσθ᾽ ὅτι
καὶ νῦν ὁ φόβος ὁ παρ᾽ ὑμῶν τοὺς ὁρμῶντας ἐπὶ

www.libtool.com.cn

Turr.: θείαν (ἀλήθειαν ci. Emp.). — καὶ ante ἵνα del. Emp. — πρᾳότατον cum R. Turr.: πρᾳότερον. — παραδέδωκεν N Mr.: παρέδωκεν.

21. νῦν om. pr. $A^b$. — ἐστι N. — κεκριμμένων pr. $A^d$. — ἔσεσθαι pr. N. — φανεῖσθε Dobr.: φαίνεσθε.

22. τοὺς ante ἀγ. add. N Mr. — ὑπολάβοιτε ABZM. — ἀποπεφ. μόνων N Mr. ci. R.: μόνων ἀποπεφ. cett. cod. — καὶ ante κατὰ τῶν ἄλλων add. N $A^d$ M Turr. — ἀνθρώπων del. Hi.; an ἁπάντων? — ἐκ τοῦ λοιποῦ N et pr. A corr.$^2$ Turr.: ἐπὶ τ. λ.

τὰ καθ’ ὑμῶν ἥκοντα χρήματα [νῦν] ἀνείργει καὶ
ποιεῖ πολλάκις ἀπὸ τοῦ λήμματος ἀποστρέφειν, καὶ
τὸ ψήφισμα τοῦ δήμου, τὸ ζητεῖν τὴν βουλὴν περὶ
τούτων τῶν χρημάτων προστάττον, οὐδὲ τοὺς κεκομι-
κότας τὸ χρυσίον εἰς τὴν χώραν ὁμολογεῖν πεποίηκε;
καλῶς γάρ, ὦ Ἀθηναῖοι, καλῶς οἱ πρόγονοι περὶ 24
τούτων ψηφισάμενοι στήλην εἰς ἀκρόπολιν ἀνή-
νεγκαν, ὅτε φασὶν Ἄρθμιον τὸν Πυθώνακτος τὸν
Ζελείτην κομίσαι τὸ χρυσίον (τὸ) ἐκ Μήδων ἐπὶ
διαφθορᾷ τῶν Ἑλλήνων. πρὶν γὰρ λαβεῖν τινας καὶ
δοῦναι τοῦ τρόπου πεῖραν, φυγὴν τοῦ κομίσαντος
τὸ χρυσίον καταγνόντες ἐξήλασαν αὐτὸν ἐξ ἁπάσης
τῆς χώρας. καὶ ταῦθ’, ὥσπερ εἶπον, εἰς τὴν ἀκρό-
πολιν εἰς στήλην χαλκῆν γράψαντες ἀνέθεσαν, πα-
ράδειγμα ὑμῖν τοῖς ἐπιγινομένοις καθιστάντες, καὶ
νομίζοντες τὸν ὁπωσοῦν χρήματα λαμβάνοντα οὐχ
ὑπὲρ τῆς πόλεως ἀλλ’ ὑπὲρ τῶν διδόντων βουλεύε-
σθαι. καὶ μόνῳ τούτῳ προσέγραψαν τὴν αἰτίαν δι’ 25
ἣν ὁ δῆμος ἐξέβαλεν αὐτὸν ἐκ τῆς πόλεως, γράψαν-
τες διαρρήδην Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελεί-
την πολέμιον εἶναι τοῦ δήμου καὶ τῶν συμμάχων,
αὐτὸν καὶ γένος, καὶ φεύγειν Ἀθήνας, ὅτι τὸν ἐκ
Μήδων χρυσὸν ἤγαγεν εἰς Πελοπόννησον. καίτοι εἰ
τὸν ἐν Πελοποννήσῳ χρυσὸν ὁ δῆμος πολλῶν κακῶν
αἴτιον ἡγεῖτο τοῖς Ἕλλησιν εἶναι, πῶς χρὴ ῥᾳθύμως

www.libtool.com.cn

23. *οὐ … ἴσθ’* pr. A corr.[1]. — *καθ’ ὑμῶν* N Mr.: *καθ’ ἡμῶν.* — *νῦν* secl. Bk. Mr. — *προστάττον* R.: *πρός τ’ αὐτόν.*

24. Cf. Dem. Phil. 3, 42. 19, 271; Aesch. 3, 258 ceterosque locos quos collegit Mr. — *ἀρίθμιον* NAB. — *ζελίτην* pr. A corr.[2]. — *(τὸ) ἐκ Μήδων* ci. Schm.; cf. Dem. Aesch. ll. c. et § 25. — *ταῦθ’* a corr. hab. A[d].

25. *ἀρίθμιον* N A[d]. — *ζελίτην* pr. A[d]. —

*ἔχειν ὁρῶντας ἐν αὐτῇ τῇ πόλει δωροδοκίαν γιγνομένην; καί μοι σκοπεῖτε ταύτην τὴν στήλην.*

ΣΤΗΛΗ.

www.libtool.com.cn

26 *Καίτοι, ὦ Ἀθηναῖοι, τί ἂν οἴεσθε ἐκείνους τοὺς ἄνδρας ποιῆσαι λαβόντας ἢ στρατηγὸν ἢ ῥήτορα πολίτην ἑαυτῶν δῶρα δεχόμενον ἐπὶ τοῖς τῆς πατρίδος συμφέρουσιν, οἳ τὸν ἀλλότριον καὶ τῷ γένει καὶ τῇ φύσει τῆς Ἑλλάδος ἄνθρωπον οὕτω δικαίως καὶ σωφρόνως ἐξήλασαν; τοιγάρτοι τῆς πόλεως καὶ τῶν προγόνων ἀξίως ἐκινδύνευσαν πρὸς τὸν βάρβαρον.*

ΛΕΙΠΕΙ.

## 3.

## ΚΑΤΑ ΦΙΛΟΚΛΕΟΥΣ.

*Τί χρὴ λέγειν πρὸς τῶν θεῶν περὶ τοιούτων ἀνθρώπων, ἢ πῶς χρήσεσθε τῇ τούτου πονηρίᾳ, ὃς οὐχ ἅπαξ ἀλλὰ τρὶς ἐξεληλεγμένος ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς, ὡς ὑμεῖς ἅπαντες ἴστε καὶ νῦν ἐν τῷ δήμῳ ἠκούετε, καὶ ἐψευσμένος ἁπάντων Ἀθηναίων*

*αὐτῇ τῇ* Dobr. (cf. 1, 93; Dem. 19, 271): *ταύτῃ τῇ.*

26. *ποιῆσαι* post *ἄνδρας* N Mr.: v. post *οἴεσθε* positum. — *τοῖς τῆς* NA Bk.: *τῆς* BZM, *τοῖς* v. — *ἐξήλασαν ἐκ Πελοποννήσου πάσης* v.; del. *ἐκ Π. π.* cum Bk. Wm. Turr. (*ἐξ Ἑλλάδος πάσης* mal. Schm.; ft. vv. *τῆς Ἑλλάδος* post *φύσει* delenda et pro *Πελ.* inserenda sunt). — Compluria deesse monuer. Turr. Mr.

Or. III. Initium orat. ita exhibet Dionys. Din. c. 11: *Τί χρὴ λέγειν τὸ πρὸς τῶν. — τοιούτων ἀνθρώπων* N Mr.: *τοιούτου ἀνθρώπου.* — *ἢ πῶς* Bk.: *ὅπως.* cf. 1, 102. — *ἐληλεγμένος* N. — *ἐξ Ἀρείου*] *Ἀρείου* N. —

*ἐναντίον καὶ τῶν περιεστηκότων, φάσκων κωλύσειν*
*Ἅρπαλον εἰς τὸν Πειραιᾶ καταπλεῦσαι, στρατηγὸς*
*ὑφ' ὑμῶν ἐπὶ τὴν Μουνυχίαν καὶ τὰ νεώρια κεχει-*
*ροτονημένος, καὶ δῶρα τολμήσας λαβεῖν κατὰ πάντων* 2
*ὑμῶν καὶ τῆς χώρας καὶ παίδων καὶ γυναικῶν, καὶ*
*ἐπιωρκηκὼς ὃν ὤμοσεν ὅρκον μεταξὺ τοῦ ἕδους καὶ*
*τῆς τραπέζης, καὶ γράψας καθ' ἑαυτοῦ ψήφισμα καὶ*
*θανάτου τιμησάμενος ἐὰν εἰλήφῃ τι τῶν χρημάτων*
*ὧν Ἅρπαλος εἰς τὴν χώραν ἐκόμισεν, ὅμως ἐτόλμη-* 3
*σεν εἰς τοὺς εἰδότας ὑμᾶς ἐξεληλεγμένον ἑαυτὸν*
*ἅπασι τούτοις ἔνοχον γεγενημένον ἐλθεῖν καὶ δεῖξαι*
*ἑαυτόν, οὐ τῷ δικαίῳ πιστεύων, ὦ Ἀθηναῖοι — τί*
*γὰρ τούτῳ δικαιοσύνης μέτεστιν; — ἀλλὰ τῇ τόλμῃ*
*καὶ τῇ ἀναιδείᾳ, ᾗ χρώμενος πρότερον μὲν ἠξίωσε*
*καταφρονήσας ὑμῶν καὶ τῶν ἐν τῇ πόλει δικαίων*
*τὰ χρήματα λαβεῖν, νυνὶ δὲ ἀπολογησόμενος ἥκει ὡς*
*οὐδὲν τούτων διαπέπρακται· τοσοῦτον τῆς ὑμετέρας*
*ῥαθυμίας καταπεφρόνηκε. καὶ ὁ μὲν κοινὸς τῆς πό-* 4
*λεως νόμος, ἐάν τις (ἑνὸς) ἐναντίον τῶν πολιτῶν*
*ὁμολογήσας τι | παραβῇ, τοῦτον ἔνοχον εἶναι κε-* 109
*λεύει τῷ ἀδικεῖν· ὁ δὲ πάντας Ἀθηναίους ἐξηπατη-*
*κὼς καὶ προδοὺς τὴν πίστιν ἣν παρ' ὑμῶν οὐκ ἄξιος*
*ὢν ἔλαβε, καὶ τὸ καθ' αὑτὸν μέρος ἅπαντ' ἀνατε-*
*τραφὼς τὰ ἐν τῇ πόλει, οὗτος ἐπὶ τὴν ἀπολογίαν*
*ἥκειν φήσει τὴν ὑπὲρ τῆς αἰτίας τῆς εἰς αὑτὸν γε-*

www.libtool.com.cn

*ἐναντίον* a corr. habet A[d]. — *καταπλεῦσαι* Bk.: *καταπλεύσειν.*
2. *ἐπιορκηκὼς* A pr. corr.[2]. — *τιμησάμενος* A[d] Bk.: *τιμωρησάμενος* M Ald. — *εἰλήφῃ* cum Bk. Turr.: *εἴληφε* (*ἑαυτῷ εἰ εἴληφε* ci. Mr., *εἰληφώς τι ληφθῇ* coll. 1, 40 Dobr.; cf. etiam 1, 1 et 104).
3. *ὦ Ἀθηναῖοι* add. N Mr. — *καὶ τῇ*] *τῇ* N et pr. A corr.[2].
4. *ἐναντίος* N. — *αὑτὸν* Turr.: *αὐτὸν.*

5 γενημένης; ἐγὼ δὲ, ὦ Ἀθηναῖοι, εἰ δεῖ τἀληθῆ λέ-
γειν — δεῖ δέ —, οὐ τὰς ἀποφάσεις οἶμαι νῦν
κρίνεσθαι, πότερον ἀληθεῖς εἰσιν ἢ ψευδεῖς αἱ κατὰ
Φιλοκλέους γεγενημέναι, ἀλλὰ περὶ μόνης τῆς τιμω-
ρίας ὑμᾶς δεῖν τῆς ἐν τῷ ψηφίσματι γεγραμμένης
δικάσαι νῦν, πότερα δεῖ χρημάτων τιμῆσαι τῷ τηλι-
καῦτα ἠδικηκότι τὴν πόλιν, ἢ θανάτῳ ζημιώσαντας,
ὥσπερ οὗτος ἔγραψεν ἐν τῷ ψηφίσματι καθ' αὑτοῦ,
δημεῦσαι τὴν οὐσίαν τὴν ἐκ τοιούτων λημμάτων
συνειλεγμένην.

6 Οἴεσθε τοῦτον νῦν πρῶτον ἐπὶ τούτων τῶν χρη-
μάτων πονηρὸν γεγενῆσθαι, ἢ νῦν πρῶτον καθ'
ὑμῶν δῶρα εἰληφέναι; οὐκ ἔστι ταῦτα, ἀλλὰ πάλαι
τοιοῦτος ὢν ἐλάνθανεν ὑμᾶς, καὶ εὐτυχεῖτε, καθότι
οὐκ ἐν μείζοσι καιροῖς ἐπύθεσθε τὴν αἰσχροκέρδειαν
αὐτοῦ· οὐ γάρ ἐστι χαλεπώτερον ἀνθρώπου τὴν αὑ-
7 τοῦ πονηρίαν ἀγνοουμένην ἔχοντος. οὐκ ἀποκτενεῖτε,
ὦ Ἀθηναῖοι, πάντες ὁμοθυμαδὸν τὸν εἰς τοσαύτην
αἰσχύνην καὶ ἀδικίαν πολλοὺς τῶν πολιτῶν ἐμβε-
βληκότα, τὸν ἀρχηγὸν γενόμενον τοῦ διαδεδομένου
χρυσίου καὶ εἰς αἰτίαν καθιστάντα πᾶσαν τὴν πόλιν;

www.libtool.com.cn

5. *ὦ Ἀθηναῖοι* N Mr.: *ὦ ἄνδρες*. — *οὐ τὰς* ci. Mr.: *οὐδὲ τὰς*. — *μόνης* auct. R. Turr.: *μὲν*, quod revoc. Mr. — *δεῖν* N A Turr.: *δεῖ*. — *τῆς ἐν*] *ταῖς ἐν* A pr. corr.[2]; item mox *γεγραμμέναις*. — *τὴν πόλιν* om. pr. A. — *δημεῦσαι* cum R. Bk.: *ἢ δημεῦσαι*.

6. *εὐτυχεῖτε* Mr. cum Schol. Ar. Eq. 1299 et Suid. s. v. *πυνθάνεσθαι*, qui Dinarchi nomine afferunt vv. *εὐτ.* — *αἰσχροκέρδειαν*: *ηὐτυχεῖτε* cum R. Bk., *εὐτύχει* $N^m$, *ηὐτύχει* v. — *καθότι*] *ὅτι* Suid. Schol., qui iidem et *μείζονι καιρῷ* (hoc quidem non male) et *τὴν αὑτοῦ αἰσχροκ.* praebent. — *τὴν αὑτοῦ* cum Steph. Turr.: *τὴν αὐτὴν* (*αὐτὴν* del. Mr.).

7. *ἀδικίαν*] *ἀτυχίαν* ci. Schm.; *ἀδοξίαν* ci. Mr. — *τῶν πολιτῶν* add. N Mr. — *καθιστάντα* cum Steph. Turr.: *καθίσαντα*. —

ἀλλ' ὑπομενεῖτε ἀκούειν τοῦ τοσαῦτα διαπεπραγμέ-
νου καθ' ὑμῶν, ὡς τὸ συνέδριον τὸ ἐν Ἀρείῳ πάγῳ
ψευδεῖς πεποίηται τὰς ἀποφάσεις, καὶ ὡς αὐτὸς μὲν
δίκαιος καὶ χρηστὸς καὶ ἀδωροδόκητός ἐστιν, ἡ δ' ἐξ
Ἀρείου πάγου βουλὴ ταῦτα πάντα προεῖται χάριτος
ἢ λήμματος ἕνεκα; ἆρ' ἴστε ὅτι ἐπὶ μὲν τῶν ἄλλων 8
ἀδικημάτων σκεψαμένους ἀκριβῶς δεῖ μεθ' ἡσυχίας
καὶ τἀληθὲς ἐξετάσαντας, οὕτως ἐπιτιθέναι τοῖς ἠδι-
κηκόσι τὴν τιμωρίαν, ἐπὶ δὲ ταῖς φανεραῖς καὶ παρὰ
πάντων ὡμολογημέναις προδοσίαις πρώτην τετάχθαι
τὴν ὀργὴν καὶ τὴν μετ' αὐτῆς γιγνομένην τιμωρίαν;
τί γὰρ τοῦτον οὐκ ἂν οἴεσθε ἀποδόσθαι τῶν ἐν τῇ 9
πόλει σπουδαιοτάτων, ὅταν ὑμεῖς ὡς πιστὸν αὐτὸν
καὶ δίκαιον φύλακα καταστήσητε; ποίας οὐκ ἂν προ-
δοῦναι τριήρεις τῶν ἐν τοῖς νεωρίοις; ἢ τίνος ἂν
φροντίσαι φυλακῆς, λήσειν ἐλπίσαντα καὶ λήψεσθαι
διπλάσιον οὗ νῦν εἴληφε χρυσίου; οὐδὲν ὅ τι οὐκ
ἂν ὁ τοιοῦτος, ὦ ἄνδρες, ποιήσειεν. ὅστις γὰρ ἀρ- 10
γύριον καὶ χρυσίον περὶ πλείονος τῆς πρὸς ὑμᾶς
πίστεως ἡγεῖται, καὶ μήθ' ὅρκου μήτ' αἰσχύνης μήτε
(τοῦ) δικαίου πλείω λόγον ἢ τοῦ λαμβάνειν ποιεῖται,
οὗτος ἀποδώσεται τὸ καθ' ἑαυτὸν τὴν Μουνυχίαν,
ἂν ἔχῃ τὸν ὠνησόμενον, οὗτος ἐξαγγελεῖ τοῖς πολε-
μίοις σύνθημα καθ' ὑμῶν φήνας, οὗτος προδώσει
τὴν πεζὴν καὶ ναυτικὴν δύναμιν.

ὡς τὸ Mr. coll. 1, 60: ὅτι τὸ Turr.; ὡς ὅτι τὸ v.

8. πρώτην cum R. Turr.: πρῶτον. — μετ' αὐτῆς auct. Bk. Turr.: μετ' αὐτὴν.

9. καταστήσετε N[m]. — λήψεσθε A pr. corr.[2].

10. ἡγεῖται Turr.: αἱρεῖται (Mr. ποιεῖται, quod deinde ut glossema inducit). — ἐξαγγέλλει pr. A corr.[2]. — πεζὴν N Mr. et mal. Dobr. Bk.: πεζικὴν.

www.libtool.com.cn

11 *Μὴ οὖν, ὦ Ἀθηναῖοι, τὴν τίμησιν ὑπὲρ τῶν γε-*
*γενημένων μόνον ὑπὸ Φιλοκλέους ἀδικημάτων ἡγεῖ-*
*σθε μέλλειν ποιεῖσθαι, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων ὧν*
*ἂν ἔπραξεν οὗτος κύριος γενόμενος. καὶ τοῖς μὲν*
*θεοῖς ἔχετε χάριν ὑπὲρ τοῦ μὴ παθεῖν τι μεῖζον*
*ὑπὸ τούτου δεινόν, ἐγνωκότες τοῦτον οἷός ἐστιν,*
*ἀξίως δ' ὑμῶν αὐτῶν καὶ τῆς τοῦ κρινομένου πονη-*
12 *ρίας κολάσατε αὐτόν· ὃς ὦ Ἀθηναῖοι τρὶς μὲν ἢ τε-*
*τράκις ἱππαρχηκὼς ἀνδρῶν καλῶν κἀγαθῶν, πλεο-*
*νάκις δ' ἢ δεκάκις στρατηγὸς ὑφ' ὑμῶν κεχειροτο-*
*νημένος οὐκ ἄξιος ὤν, τιμώμενος καὶ ζηλούμενος*
*διὰ τὴν πρὸς ὑμᾶς πίστιν, ἀπέδοτο καὶ προέδωκε*
*τὸ τῆς ὑμετέρας ἡγεμονίας ἀξίωμα, καὶ εἰς τὸ αὐτὸ*
*κατέστησεν ἑαυτὸν Ἀριστογείτονι, καὶ μισθωτὸν καὶ*
13 *προδότην ἀντὶ στρατηγοῦ ἐποίησεν. ἔπειτα ὑποστεί-*
*λασθαί τι δεῖ πρὸς τὸν τοιοῦτον ὑμῖν καὶ αἰσχυν-*
*θῆναι, τοῖς ἠδικημένοις, ὃς οὐκ ᾐσχύνθη τοιαῦτα*
*πράττων καθ' ὑμῶν καὶ τῶν ἄλλων; οὐχ οἱ τοιοῦτοι*
*τῶν ἀνθρώπων ἐλεοῖντ' ἂν εἰκότως παρ' ὑμῖν, ὦ*
*Ἀθηναῖοι· πολλοῦ γε καὶ δεῖ· ἀλλ' οἱ προδοθέντες*
110 *ἂν ὑπὸ Φιλοκλέους, εἴ τιν' οὗτος | παρέλαβε καιρόν·*
*ἐν οἷς καὶ ἡ ἀκτὴ καὶ οἱ λιμένες εἰσὶ καὶ τὰ νεώρια,*
*ἃ οἱ πρόγονοι χρημάτων πολλῶν κατασκευάσαντες*
14 *ὑμῖν κατέλιπον. ὧν ἀναμιμνησκομένους ὑμᾶς, ὦ*

www.libtool.com.cn

11. *ἂν ἔπραξεν* B et corr.[2] A Bk.: *ἔπραξεν* N, pr. A, ZM, *ἔπραξεν ἂν* v. — *κολάσετε* pr. A BZM.

12. *μὲν* post *τρὶς* add. N Mr. — *ὑμετέρας ἡγ.* scripsi: *ἡμετέρας ἡγ.* N Mr.; *ἡγεμον. ἡμῶν* v. (*ἡγ. ὑμῶν* mal. S.).

13. *ὑμῖν*] *ὑμᾶς* cum R. Dobr. Turr., servata mox librorum scriptura *τοὺς ἠδικημένους*. *Τοῖς ἠδικημένοις* Emp. — *αἰσχύνθη* pr. A corr.[2]. — *οὐχ οἱ*] *οὐχὶ* B. — *χρημάτων πολλῶν* post *οἱ πρόγονοι* transposui; legebantur post *καιρόν*. — *κατασκευάσ. ὑμῖν* N Mr.: *ὑμῖν κατασκ.*

*Ἀθηναῖοι, δεῖ μὴ παρέργως ἔχειν πρὸς τὰς ὑπὸ τῆς βουλῆς γεγενημένας ἀποφάσεις, ἀλλ' ἀκολούθως ταῖς πρότερον κεκριμέναις . . . . . αἰσχρὸν γὰρ ἀπειπεῖν τιμωρουμένους ἐστὶ τοὺς προδότας τῆς πόλεως γεγενημένους, καὶ ὑπολείπεσθαί τινας τῶν ἀδίκων καὶ πονηρῶν ἀνθρώπων, ὅτε οἱ θεοὶ φανεροὺς ὑμῖν ποιήσαντες παρέδοσαν τιμωρήσασθαι, ἑωρακότες τὸν δῆμον ἅπαντα κατήγορον τούτου γεγενημένον καὶ προκεχειρικότα πρῶτον τῶν ἄλλων ἐπὶ τὸ τὴν τιμωρίαν ἐν ὑμῖν δοῦναι.*

www.libtool.com.cn

*Ἀλλ' ἔγωγε, νὴ τὸν Δία τὸν σωτῆρα, αἰσχύνομαι* 15
*εἰ προτραπέντας ὑμᾶς δεῖ καὶ παροξυνθέντας ὑφ' ἡμῶν ἐπὶ τὴν τοῦ νῦν εἰσεληλυθότος τὴν κρίσιν τιμωρίαν ἐλθεῖν. οὐκ αὐτόπται ἐστὲ τῶν ὑπὸ τούτου γεγενημένων ἀδικημάτων; καὶ ὁ μὲν δῆμος ἅπας οὔτ' ἀσφαλὲς οὔτε δίκαιον νομίζων εἶναι παρακαταθέσθαι τοὺς ἑαυτοῦ παῖδας ἀπεχειροτόνησεν αὐτὸν ἀπὸ τῆς τῶν ἐφήβων ἐπιμελείας· ὑμεῖς δὲ οἱ τῆς δη-* 16
*μοκρατίας καὶ τῶν νόμων φύλακες, οὓς ἡ τύχη καὶ ὁ κλῆρος ὑπὲρ τοῦ δήμου δικάσοντας . . . . . ἐπέ-*

14. post *κεκριμέναις* deesse videtur *καὶ ταύτην κρίνειν.* — post *ποιήσαντες* Mr. addi mal. *αὐτούς.* — *ἑωρακότας* cum Steph. R. — *προκεχειρικότα* B et corr. A Bk.: *προκεχειρηκότα* N et pr. A[d], *προκεχωρηκότα* v. Itaque in plebiscito Phil. primo loco nominatus erat. — *ἐπὶ τὸ* N Mr. (ci. St.): *ἐπὶ τῷ.*
15. *δεῖν* N. — *εἰςεληλυθότος τὴν κρίσιν* scripsi (cf. Dem. 21, 6): *εἰςελ.* [*τὴν κρ.*] aliquando ci. Mr., *ἐληλ. ἐς τ. κρ.* ci. S.; *ἐκλελοιπότος τὴν κρ.* NA Bk.; *ἐκλελοιπότος κρ.* v. — *οὐκ* et *ἀδικημάτων;* ci. Bait.: *καὶ οὐκ* et *ἀδικημάτων.* — *οὐκ αὐτόπται*] *οὐ κατόπται* N. — ante *παρακατ.* R. addi mal. *αὐτῷ.*
16. *τοῦ* ante *δήμου* om. N et pr. A corr.². — *ἐπέτρεψεν*] *ἐπέστησεν* ci. R.; contra S. *οἷς* pro *οὓς* (cum R.) et *δικάσαι* pro *δικάσοντας* mal. —

τρεψεν, φείσεσθε τοῦ τοιαῦτα διαπεπραγμένου, καὶ τὸ πέρας ἔχοντες ἁπάντων τῶν ἐν τῇ πόλει δικαίων ἀτιμώρητον ἀφήσετε τὸν δωροδόκον καὶ πάντων τῶν γεγενημένων κακῶν αἴτιον, ὅς, ὅπερ καὶ μικρῷ πρότερον εἶπον, μόνος τῶν πονηρῶν πάντων τρίς, οὐχ ἅπαξ, ἀποπέφανται, κἂν τρὶς ἤδη δικαίως ἐζημιω-
www.libtool.com.cn
17 μένος θανάτῳ κατὰ τὸ ἑαυτοῦ ψήφισμα. τί οὖν ἀναμενεῖτε, ὦ Ἀθηναῖοι; καὶ ποῖα ἀδικήματα ζητεῖτε ἕτερα μείζω τῶν εἰρημένων ἀκοῦσαι; οὐχ ὑμεῖς ἐστε καὶ οἱ ὑμέτεροι πρόγονοι οἱ Τιμοθέῳ Πελοπόννησον περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν Λακεδαιμονίους νικήσαντι καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντι καὶ Μεθώνην καὶ Πύδναν καὶ Ποτίδαιαν καὶ πρὸς ταύταις ἑτέρας εἴκοσι πόλεις, οὐδὲν τούτων ὑπόλογον ποιησάμενοι, οὐδὲ τῆς τότε ἐνεστώσης κρίσεως καὶ τῶν ὅρκων οὓς ὀμωμοκότες φέρετε τὴν ψῆφον ἀντικαταλλαξάμενοι τὰς τηλικαύτας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων τιμήσαντες, ὅτι χρήματ' αὐτὸν Ἀριστοφῶν ἔφη παρὰ Χίων εἰληφέναι καὶ Ῥοδίων;
18 τὸν δὲ μιαρὸν ἄνθρωπον καὶ προδότην, ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα ἀποπέφαγκε χρήματ' ἔχειν καθ' ὑμῶν, ὃς οὐ-

τοιαῦτα NA Bk.: τὰ τοιαῦτα. — ἁπάντων τῶν ἐν τῇ πόλει N Mr.: τῶν ἐν τῇ πόλει ἁπάντων. — κἂν S.: καί.

17. οὐχ ὑμεῖς κτέ.] cf. 1, 14. — πλεύσαντι A (teste Bk.) BLZM Ald. — νικήσ. Λακ. or. 1. — τοῦ ante τοὺς om. N et pr. A corr.[2]. — ἐλευθερώσαντι N et pr. A corr.[2]. — λαβόντι N et pr. A corr.[2] Turr.: λαβόντος (sicut 1, 14 libri omnes). — οὐδὲν τούτων] οὐκ or. I. — καὶ τῶν | οὐδὲ τῶν or. I. — φέρετε NAB Bk.: ἐφέρετε (sicut exstat or. I). — εὐεργεσίας] ἐργασίας N.

18. ἀνθρώπων pr. A corr.[2]. — vv. ὃν οὐχ — καθ' ὑμῶν item leguntur I, 15. —

*σίαν ἔχων πολλὴν καὶ παίδων ἀῤῥένων οὐκ ὄντων αὑτῷ, καὶ οὐδενὸς ἄλλου δεόμενος ὧν (ἂν) ἄνθρωπος μέτριος δεηθείη, οὐκ ἀπέσχετο χρημάτων διδομένων κατὰ τῆς πατρίδος, οὐδ' ἀπεκρύψατο τὴν ἔμφυτον πονηρίαν, ἀλλ' ἀνεῖλε πᾶσαν τὴν γεγενημένην αὑτῷ πρὸς ὑμᾶς πίστιν, καὶ οἷς πρότερον ἔφη διαφέρεσθαι, πρὸς τούτους ἔταξεν αὑτόν, καὶ ἐξήλεγξεν αὑτοῦ τὴν προσποίητον καλοκαγαθίαν ὅτι ψευδὴς ἦν.*

www.libtool.com.cn

*Ἃ χρὴ λογισαμένους ὑμᾶς πάντας, ὦ Ἀθηναῖοι,* 19
*καὶ τῶν παρόντων καιρῶν ἀναμνησθέντας, οἳ πίστεως οὐ δωροδοκίας δέονται, μισεῖν τοὺς πονηρούς, ἀνελεῖν ἐκ τῆς πόλεως τὰ τοιαῦτα θηρία, καὶ δεῖξαι πᾶσιν ἀνθρώποις ὅτι οὐ συνδιέφθαρται τὸ τοῦ δήμου πλῆθος τῶν ῥητόρων καὶ τῶν στρατηγῶν τισιν, οὐδὲ δουλεύειν ταῖς δόξαις, εἰδότας ὅτι μετὰ μὲν δικαιοσύνης καὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας ῥᾳδίως ἀμυνούμεθα, θεῶν ἵλεων ὄντων, ἐάν τινες ἡμῖν ἀδίκως ἐπιτίθωνται, μετὰ δὲ δωροδοκίας καὶ προδοσίας καὶ τῶν ὁμοίων τούτοις κακῶν, ἃ τοῖς τοιούτοις ἀν-*
*θρώποις πρόσεστιν, οὐδεμί' ἂν πόλις σωθείη. μηδε-* 20
*μίαν οὖν δέησιν ὦ Ἀθηναῖοι μηδ' ἔλεον . . . . . . . . . [εἰς ὑμᾶς λαμβάνοντες αὐτούς], μηδὲ τὴν ἐξ αὐτῶν*

*πολλὴν*] *πολὺν* pr. A corr.[2]. — *αὐτῷ* Bk. Turr. — *ὧν* (*ἂν*) auct. Bk. et Dobr. Turr. — *καὶ οἷς*] *οἷς* om. pr. A[d]. — *αὑτοῦ τὴν*] *αὑτοῦ* del. Turr. Cf. Krüger Gr. Gr. § 47, 9, 18. — post *ψευδὴς ἦν* apodosin excidisse statuunt Schm. Turr. Mr.

19. *πάντας* add. N Mr. — *οἳ*] *ὅτι* Dobr. — *πόλεως* N Mr.: *πολιτείας*. — *δουλεύειν* Ald.: *δουλεύει* Bk. c. codd. — *εἰδότες* NABZ Bk. — *ἀμυνόμεθα* AZ. — *ἡμῖν*] *ὑμῶν* N et pr. A corr.[2]. — *οὐδεμί' ἂν* auct. Bk. et Dobr. Turr.: *οὐδεμία*.

20. Locum pessime habitum dedi ex emend. S.; malim tamen pro *λαμβάνοντες* scribi *ἀναλαβόντες*.

*τῶν ἔργων καὶ τῆς ἀληθείας ἀποδεδειγμένην ὑμῖν κατὰ τῶν κρινομένων ἀδικίαν (εἰς ὑμᾶς λαμβάνοντες αὐτούς, μηδὲ) . . . . . . ἄκυρον ποιήσαντες, βοηθήσατε*
111 *κοινῇ τῇ πατρίδι καὶ τοῖς νόμοις· ταῦτα | γὰρ ἀμφότερα διαδικάζεται νῦν πρὸς τὴν τούτου πονηρίαν.*

www.libtool.com.cn

21 *ὑπὲρ πάσης ὦ Ἀθηναῖοι τῆς χώρας νῦν μέλλετε φέρειν τὴν ψῆφον, καὶ τῶν ἐν ταύτῃ κατεσκευασμένων ἱερῶν καὶ τῶν ἀρχαίων νομίμων καὶ τῆς παραδεδομένης ὑπὸ τῶν προγόνων ὑμῖν πολιτείας, οὐχ ὑπὲρ Φιλοκλέους μόνον· οὗτος μὲν γὰρ αὑτοῦ πάλαι θάνατον κατέγνωκε. ταῦθ' ὑμᾶς ἱκετεύων ἐγὼ δικαιοτέραν πολὺ δέησιν δέομαι τούτων τῶν τοιαῦτα πεπραχότων, μὴ ἐγκαταλιπεῖν ὑπὲρ ὧν οἱ πρόγονοι πολλοὺς ὑπέμειναν κινδύνους, μηδ' εἰς ἀδοξίαν αἰσχρὰν ἀγαγεῖν τὸ τῆς πόλεως ἀξίωμα, μηδὲ (ἀντι)καταλλάξασθαι τὴν πρὸς τούτους χάριν τῶν νόμων καὶ τῶν τοῦ δήμου (ψηφισμάτων) καὶ τῶν τῆς βουλῆς*
22 *ἀποφάσεων. ἀκριβῶς γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ἀκριβῶς, ὅτι ὑμεῖς μὲν παρὰ πᾶσιν ἀνθρώποις ἐπαινεῖσθε ταῖς γεγενημέναις ζητήσεσιν ὑπὲρ τούτων τῶν χρημάτων, οἱ δ' ἐξεληλεγμένοι κατὰ τῆς ἑαυτῶν πατρίδος δῶρα εἰληφότες πονηροὶ καὶ ἄδικοι καὶ μισόδημοι νομίζονται εἶναι, φιλεῖν ὑμᾶς φάσκοντες καὶ πράττειν ὑπὲρ τῶν τῆς πόλεως ἀγαθῶν, καὶ δι' ὑμᾶς ἔνδοξοι γεγενημένοι.*

*τούτου*] *τούτων* pr. A, quod malim.

21. *κατασκευασμένων* N et pr. A corr.[2]. — *ὑμῖν* cum R. Turr.: *ὑμῶν*. — *μὲν γὰρ*] *μὲν* add. N Mr. — mal. *αὐτὸς αὑτοῦ*. — *τοιαῦτα* scripsi coll. § 16; 1, 109: *ταῦτα*. — *ἀντικαταλλ.* Hi. coll. 1, 3. 15; 3, 17: *καταλλάξασθαι*. — *ψηφισμάτων* add. Mr. coll. 1, 84. 101.

22. *ἐπαινεῖσθαι* pr. A[d]. — (*ἐπὶ*) *ταῖς* ci. R., sed cf. Mr. — In fine quaedam deesse putant Turr.

# [ΔΗΜΑΔΟΥ]

## ΥΠΕΡ ΤΗΣ ΔΩΔΕΚΑΕΤΙΑΣ.

www.libtool.com.cn

*Τῆς μὲν τῶν κινδυνευόντων σωτηρίας, ὦ ἄν-* P. 178 Steph.
*δρες Ἀθηναῖοι, καὶ τῆς τιμωρίας ὑμεῖς παρὰ τῶν
νόμων τὴν ἐξουσίαν εἰλήφατε· οὔτε δὲ ἰατρὸς ἐμπεί-
ρως δύναται θεραπεῦσαι τοὺς κάμνοντας, ἂν μὴ τὴν
αἰτίαν τοῦ νοσήματος κατανοήσῃ, οὔτε δικαστὴς
ὁσίαν θεῖναι τὴν ψῆφον, ἐὰν μὴ τοῖς τῆς κρίσεως
δικαίοις ᾖ παρηκολουθηκώς. ἐμπεσὼν δὲ αὐτὸς εἰς* 2
*μέσην τὴν τῶν ῥητόρων δυσμένειαν, ὥσπερ τῆς παρὰ
θεῶν, οὕτω τῆς παρ' ὑμῶν δέομαι τυχεῖν βοηθείας.
διαβάλλουσι γάρ μου τὸν βίον, οἰόμενοι τὸν λόγον
ἄπιστον καταστήσειν. ἐγὼ δ' ἀποθανὼν μὲν ἢ ζῶν
οὐδέν εἰμι· τί γὰρ Ἀθηναίοις ἢ παρανάλωμα Δη-
μάδης; δακρύσει δέ μου τὴν ἀπώλειαν οὐχ ὁ στρα-
τιώτης — πῶς γάρ; ὃν αὔξει μὲν πόλεμος, εἰρήνη
δ' οὐ τρέφει — ἀλλ' ὁ τὴν χώραν γεωργῶν καὶ ὁ
τὴν θάλατταν πλέων καὶ πᾶς ὁ τὸν ἡσύχιον βίον
ἠγαπηκώς, ᾧ τὴν Ἀττικὴν ἐτείχισα, τοὺς ὅρους τῆς
χώρας περιβαλὼν οὐ λίθοις ἀλλὰ τῇ τῆς πόλεως*

Codd. Bk. CEIMNT.

Inscr.] *ἀπολογισμὸς πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας* Suid. s. v. *Δημάδης*, quo tamen loco Ruhnk., prob. S., verba *πρὸς Ὀλ.* alio transponenda esse ci. . Fort. duo sunt orationes: *ἀπολογ. πρὸς Ὀλυμπιάδα*, et (*ὑπὲρ*) *τῆς ἑαυτ. δωδεκαετίας*.

1. rectius *θέσθαι τὴν ψῆφον*.

2. *μέσην τὴν* S.: *τὴν* E, *μέσην* v. — *ἢ ζῶν* Steph. Dobs. Turr.: *εἰ ζῶν*. — mal. *τί γὰρ* (*ἄλλο*). — *θάλασσαν* E. — *ἥσυχον* E. *Ἡσύχιος βίος* exstat Dem. Phil. 4, 70. — *ᾧ τὴν Ἀττικὴν κτέ.*] Demosthenem imitatur (18, 300).

3 ἀσφαλείᾳ. δεινον δέ τι συμβαίνει πολλοῖς τῶν κρι-
νόντων, ὦ ἄνδρες δικασταί. ὥςπερ γὰρ ἡ τῶν ὀφθαλ-
μῶν νόσος τὴν ὅρασιν συγχέασα κωλύει τὰ ἐμ-
ποδὼν κείμενα θεωρεῖν, οὕτως ἄδικος παρειςδύνων
λόγος εἰς τὰς τῶν δικαστῶν γνώμας οὐκ ἐᾷ δι᾽ ὀρ-
γὴν συνορᾶν τὴν ἀλήθειαν. διὸ καὶ δεῖ συνορᾶν
ὑμᾶς εὐλαβῶς ἐπὶ τῶν κινδυνευόντων μᾶλλον ἢ τῶν
ἐγκαλούντων· οἱ μὲν γὰρ αὐτόθεν ἔχουσιν ἐκ τῆς
πρωτολογίας ὁποῖον αὐτοὶ βούλονται τὸν δικαστήν,
179 οἱ δ᾽ ἀναγκάζονται πρὸς ὠργισμένους κριτὰς τὴν
4 διάνοιαν ἀντιτάσσεσθαι. ἐὰν μὲν οὖν φαίνωμαι τοῖς
ἐγκαλουμένοις ἔνοχος, καταψηφίσασθε, μὴ φείσησθε·
οὐ παραιτοῦμαι· ἐὰν δ᾽ εὑρίσκωμαι τῶν ἐγκεκλημέ-
νων κεχωρισμένος τῷ δικαίῳ, τοῖς νόμοις, τῷ συμ-
φέροντι, μὴ προήσθέ με τῇ τῶν κατηγόρων ὠμό-
τητι. εἰ δὲ πάντως ἀποθανὼν συμβαλοῦμαί τι πρὸς
τὴν κοινὴν σωτηρίαν, ὡς οὗτοι λέγουσιν, ἑτοίμως
ἔχω τελευτᾶν· κτήσασθαι γὰρ ἰδίῳ θανάτῳ δημο-
σίαν εὐδαιμονίαν καλόν, ἐὰν ᾖ χρεία τῆς πατρίδος·
5 ἀλλὰ μὴ ὁ τούτων λόγος τὸ νῦν ἀφαιρήσηται. δότε
δή μοι πρὸς θεῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δότε διαλε-
χθῆναι ὡς προαιροῦμαι περὶ τῶν δικαίων. δοκῶ μὲν
γὰρ δύναμιν εἶναί μοι καὶ τοῖς ἄλλοις βοηθεῖν· ἐν
δὲ τούτοις ἐμποδίζει μου τὸν λόγον ὁ φόβος. ἄλλως

www.libtool.com.cn

3. ὦ ἄνδρες Bk. cum rc. E: ὧδε M, ὦ N, om. pr. E, ὧδε v. — ὠργιζομένους E.

4. τῇ τῶν] τῇ om. T. — εὐδαιμονίαν S.: εὔνοιαν. — ᾖ] ἡ EIT Bk. — τὸ νῦν Bk. cum codd.: τι νῦν v., τὸ ζῆν S. Cf. Din. 1, 33. — ἀφαιρήσηται C: ἀφαιρήσεται EIMNT, ἀφαιρῆται Bk. Barbarismus in hoc scriptore offensioni non est, et aoristus h. l. praesenti tempore aptior.

δὲ οὐ τον ἔλεγχον τοῦ πράγματος δέδοικα, ἀλλὰ τὴν
τῶν ἀντιδίκων διαβολὴν (καὶ τὸν) φθόνον, ὃς οὐ
κρίνει τοὺς ἀδικοῦντας, ἀλλὰ φύεται τοῖς δοκοῦσί
(τι δύνασθαι) λέγειν ἢ πράττειν. ἡ παρ' ὑμῖν ἐλ- 6
πὶς δὲ δικαία· ἐὰν ταύτης κατατύχω, πάσας ἀπολύ-
σομαι τὰς διαβολάς· ἄνευ δὲ ταύτης οὔτε ὁ λόγος
οὔθ' οἱ νόμοι οὔθ' ἡ τῶν πραγμάτων ἀλήθεια σῶσαι
δύνανται τὸν ἀδίκως κρινόμενον. οὐκ ἀγνοεῖτε δὲ
ὅτι πολλοὶ πολλάκις ἤδη τῶν ἐγκαλούντων ἀπὸ μὲν
τῆς κατηγορίας ἔδοξαν δίκαια λέγειν, παρατεθείσης
δὲ τῆς ἀπολογίας εὑρέθησαν αὐτοὶ συκοφαντοῦντες·
ὃ δὴ καὶ νῦν πέπεισμαι τούτοις παρακολουθήσειν
ὑμῶν ἀκούειν προαιρουμένων μετ' εὐνοίας.

www.libtool.com.cn

Ἐπεὶ δὲ καὶ τῆς ἄλλης μου πολιτείας κατηγορεῖν 7
ἐπεχείρησαν, βραχέα βούλομαι περὶ αὐτῆς εἰπεῖν,
ἔπειθ' οὕτως ἐπὶ τὴν λοιπὴν δικαιολογίαν ἀπελθεῖν,
ἵνα μὴ λάθωσιν ὑμᾶς παρακρουσάμενοι. γεγονὼς
γὰρ ὦ ἄνδρες Ἀθηναῖοι Δημέου πατρός, ὡς καὶ
ὑμῶν οἱ πρεσβύτεροι γινώσκουσι, τὸν μὲν ἄλλον χρό-
νον οὕτως ἔζων ὡς ἠδυνάμην, οὔτε κοινῇ τὸν δῆμον

5. δέδοικα add. Bk. cum C (δέδια S.). — τὴν τῶν ἀντιδίκων διαβολὴν C Bk.: τῇ τῶν ἀδίκων (τὸν τῶν ἀντιδίκων S.). — καὶ τὸν addidi. — φθόνον, ὃς S.: μόνον ἥτις C Bk.; μόνον ὃς cett. — (εὖ) δοκοῦσι ci. Bk; δοκοῦσί (τι) ci. S. An τοῖς δοκ. (δύνασθαι) λέγειν ἢ πράττειν τι παρ' ὑμὶν. ἐλπὶς δὲ δικαία . . . . . . ἐὰν κτἑ.?

6. δὴ post ἐὰν add. C Bk. — κατατύχω C Bk. (ci. Hauptm.): κατατυχὼν. — ἀπολύσωμαι J. — ἡ τῶν πραγμάτων ἀλήθεια] ita loquitur Antiphon 5, 3. — δύνανται] δύναιντ' ἂν C Bk.; cf. § 1. — παραθείσης C.

7. mal. περὶ ταύτης, cf. Dem. 18, 9. — ἀπελθεῖν] malim ἐλθεῖν. — Δημέου (Δημαίου) Lhardy et Kiessling.: Δημάδου. — ἐδυνάμην E.

ἀδικῶν οὔτ' ἰδίᾳ λυπῶν οὐδένα τῶν ἐν τῇ πόλει,
πειρώμενος δ' ἀεὶ τοῖς ἰδίοις πόνοις τὴν ἀσθένειαν
8 τοῦ βίου διορθοῦσθαι. ἡ πενία δ' ἴσως δύσχρηστον
μὲν ἔχει τι καὶ χαλεπόν, κεχώρισται δ' αἰσχύνης, ὡς
www.libtool.com.cn
ἄν, οἶμαι, τῆς ἀπορίας ἐπὶ πολλῶν οὐ τρόπου κακίαν
ἀλλὰ τύχης ἀγνωμοσύνην ἐλεγχούσης. προσελθὼν
δὲ τοῖς κοινοῖς οὐκ εἰς δίκας καὶ τὴν ἀπὸ τῆς λογο-
γραφίας ἐργασίαν ἔθηκα τὸν πόνον, ἀλλ' εἰς τὴν
ἀπὸ τοῦ βήματος παρρησίαν, ἣ τοῖς μὲν λέγουσιν
ἐπισφαλῆ παρέχεται τὸν βίον, τοῖς δ' εὐλαβῶς ἀκρο-
ωμένοις μεγίστην δίδωσιν ἀφορμὴν πρὸς κατόρθω-
σιν· οὐ γὰρ ἐν τῇ τοῦ λέγοντος χάριτι δεῖ συνεκπί-
9 πτειν τὴν τῆς πατρίδος σωτηρίαν. χιλίων ταφὴ
Ἀθηναίων μαρτυρεῖ μοι, κηδευθεῖσα ταῖς τῶν ἐναν-
τίων χερσίν, ἃς ἀντὶ πολεμίων φιλίας ἐποίησα τοῖς
ἀποθανοῦσιν. ἐνταῦθα ἐπιστὰς τοῖς πράγμασιν
ἔγραψα τὴν εἰρήνην· ὁμολογῶ. ἔγραψα καὶ Φιλίππῳ
τιμάς· οὐκ ἀρνοῦμαι. δισχιλίους γὰρ αἰχμαλώτους
ἄνευ λύτρων καὶ χίλια πολιτῶν σώματα χωρὶς κή-
ρυκος καὶ τὸν Ὠρωπὸν ἄνευ πρεσβείας λαβὼν ὑμῖν
10 ταῦτ' ἔγραψα. ἐπείληπτο δὲ τῆς γραφούσης χειρὸς
οὐχ ἡ δωροδοκία τῶν Μακεδόνων, ὡς οὗτοι πλατ-
τόμενοι λέγουσιν, ἀλλ' ὁ καιρὸς καὶ ἡ χρεία καὶ τὸ

8. *εὐλαβῶς ἀκροωμένοις* scripsi: *εὐλαβουμένοις*. cf. § 3. — *πρὸς τὴν κατόρθωσιν* T. — *ἐν τῇ τοῦ λέγοντος*] *ἐν* del. mal. Bk., def. S. coll. Maetzner. ad Antiph. 1, 8. Sententia haec esse videtur: „non semper salus reipublicae una contingit cum oratoris gratia".

9. *ταφὴ*] *τε φὴ* MNT, *τε φῆ*. E. De veritate lectionis propter hiatum dubitat Benseler. — *κήρυκας* T. — *ὀρωπὸν* N, *ὁρωπὸν* MT.

10. *ἐπείληστο* J. cf. autem Demad. fr. 8 S.

τῆς πατρίδος συμφέρον καὶ ἡ τοῦ βασιλέως φιλανθρωπία· ἐλθὼν γὰρ ἐπὶ τὸν κίνδυνον ἐχθρὸς τῶν ἀγώνων φίλος ἐχωρίσθη, τὸ τῶν νενικηκότων ἆθλον τοῖς σφαλεῖσι προσθείς. πάλιν τοίνυν ἧκε τῇ πόλει 11
καιρὸς ἕτερος, ἵνα τοὺς μεταξὺ κινδύνους ἑκὼν ἐπιλάθωμαι· καὶ πάντες μὲν οἱ τὴν Ἑλλάδα κατοικοῦντες τον Ἀλέξανδρον ἐπὶ τὴν ἡγεμονίαν ἀνεβίβαζον, καὶ τοῖς ψηφίσμασιν ἀναπλάττοντες φρόνημα μεῖζον τοῦ δέοντος ἀνδρὶ νέῳ καὶ φιλοδόξῳ περιέθηκαν· λοιποὶ δὲ ἦμεν ἡμεῖς καὶ Λακεδαιμόνιοι, πρόβλημα τῆς σωτηρίας ἔχοντες οὐ χρημάτων πλῆθος, οὐχ ὅπλων παρασκευάς, οὐχ (ἱππέων καὶ) πεζῶν σύνταξιν, ἀλλ' ἐπιθυμίαν (μὲν) μεγάλην, δύναμιν δ' ἀσθενῆ καὶ ταπεινήν. ὧν μὲν γὰρ ἐσύλησε τὴν ἰσχὺν ὁ περὶ 12
Λεῦκτρα κίνδυνος, ὁ δὲ πρότερον ἀπείρατος ὢν πο- 180
λεμίας σάλπιγγος Εὐρώτας Βοιωτοὺς ἐν τῇ Λακωνικῇ στρατοπεδεύοντας εἶδεν· ἀπέκειρε γὰρ τὴν ἀκμὴν τῆς Σπάρτης ὁ Θηβαῖος, καὶ τοὺς ὅρους τῆς Λακωνικῆς τεθειμένους τὴν ἀκμὴν τῶν νέων συνέκλεισε ταῖς τέφραις. τὰς δ' ἡμετέρας παρασκευὰς ἀνάλωσεν ὁ πόλεμος, καὶ τὴν ἐλπίδα τῶν ζώντων συνέτριψεν ἡ συμφορὰ τῶν ἀποθανόντων. Θηβαῖοι 13
δὲ μέγιστον εἶχον δεσμὸν τὴν τῶν Μακεδόνων φρουράν, ὑφ' ἧς οὐ μόνον τὰς χεῖρας συνεδέθησαν ἀλλὰ καὶ τὴν παρρησίαν ἀφῄρηντο· τῷ γὰρ Ἐπαμι-

www.libtool.com.cn

11. *τῇ πόλει* om. E. — *κινδύνους*] cf. Dinarch. 1, 35. — *μεῖζον*] *μικρὸν* E. — *περιέθηκα* EIMNT. — *οὐχ ἱππέων καὶ πεζῶν* scripsi: *οὐχὶ πεζῶν*.

12. *πρότερος* M. — *εἶδεν* Ald. et mal. S.: *εἶχεν*. — *νεῶν* EIMNT.

13. *συνεδόθησαν* T. — *καὶ* ante *τὴν παρρησ.* om. I. — *αφῄρητο* typographi errore Turr. —

νώνδου σώματι συνέθαψε τὴν δύναμιν τῶν Θηβαίων ὁ καιρός. ἤκμαζον δὲ τοῖς σύμπασιν οἱ Μακεδόνες, οὓς ἤδη ταῖς ἐλπίσιν ἐπὶ τὰ Περσῶν σκῆπτρα καὶ
14 τοὺς θησαυροὺς ἡ τύχη διεβίβαζεν. ἐνταῦθ' ὁμοίως Δημοσθένης μὲν ἐκύρωσε πόλεμον, καλὴν μὲν τοῖς ὀνόμασιν οὐ σωτήριον δὲ τοῖς ἔργοις συμβουλίαν εἰςηγησάμενος τοῖς πολίταις· ὡς δὲ πλησίον ἔστη τῆς Ἀττικῆς, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο, καὶ τὸ περιμάχητον καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄστυ βοῶν καὶ προβάτων ὥσπερ ἔπαυλις καὶ τῶν (ἄλλων) βοσκημάτων ἐπληροῦτο, βοηθείας δ' οὐδαμόθεν ἦν
15 ἐλπίς, ἔγραψα τὴν εἰρήνην. ὁμολογῶ, καὶ φημὶ καλῶς καὶ συμφερόντως πεπραχέναι τοῦτο· κρεῖττον γὰρ ἐπερχόμενον ἐκκλῖναι τὸ νέφος ἢ φερομένῳ συναπενεχθῆναι τῷ ῥεύματι. ἀξιῶ δὲ ὦ ἄνδρες Ἀθηναῖοι τὴν ἐκ τῶν πραγμάτων λύπην ἐμοὶ παρ' ὑμῶν μηδεμίαν ἀπογεννῆσαι δυςμένειαν. οὐ γὰρ ἐγὼ κρατῶ τῆς τύχης, ἀλλ' ἡ τύχη τοῦ βίου, δι' ἣν κινδυνεύει. δεῖ δὲ τὸν σύμβουλον, καθάπερ τὸν ἰατρόν, οὐ τῆς νόσου την αἰτίαν ἔχειν ἀλλὰ τῆς θεραπείας
16 τὴν χάριν ἀπολαμβάνειν. καταχωρίσαντες οὖν τὰ συμβάντα διὰ τὰς ἔξωθεν αἰτίας ψιλῶς ἐπὶ τῶν πραγμάτων γυμνὴν θεωρήσατέ μου τὴν πολιτείαν. μετα ταῦτα τοίνυν τῇ πόλει τρίτος ἐπῄει κίνδυνος πάντων

www.libtool.com.cn

τῷ γὰρ Ἐπαμ. κτἑ.] cf. [Lys.] Epitaph. 60; Lyc. 50. — τοῖς σύμπασιν scripsi: τοῖς σώμασιν. — ἐπὶ τὰ Περσῶν σκ. καὶ τοὺς θησ. scripsi: ἐπὶ τὰ σκ. καὶ τοὺς Περσῶν θησαυρούς.
14. ἔστη] ἐστι T.

15. πεπράχθαι C. — οὐ γὰρ ἐγὼ κρατῶ κτἑ.] cf. Dem. 18, 194. — τὸν ante ἰατρὸν om. C.

16. καταχωρήσαντες T. — ἐπῄει Scheibe: ἐπὶ N, om. I, ἐγένετο T Bk., ἐπήγετο v. Turr.

*χαλεπώτατος, οὐκέτι πεμφθεὶς ὑπο τῆς τύχης, ἀλλ'
ὑπὸ τῶν τότε ῥητόρων ἐπαχθείς. καί μοι τῶν πε-* 17
*πραγμένων ἀναμνήσθητε, ἡνίκα Δημοσθένης καὶ
Λυκοῦργος τῷ μὲν λόγῳ παρατάττόμενοι τοὺς Μα-
κεδόνας ἐνίκων ἐν Τριβαλλοῖς, μόνον δ' οὐχ ὁρατὸν
ἐπὶ τοῦ βήματος νεκρὸν τὸν Ἀλεξάνδρου προέθηκαν,
ἐν τῷ δήμῳ δ' ἀλείψαντες λόγοις εὐπρεπέσι Θηβαίων
τοὺς παρόντας φυγάδων θυμοὺς ἐπ' ἐλπίδι τῆς
ἐλευθερίας ἠκόνησαν, ἐμὲ δὲ στυγνὸν καὶ περίλυπον
ἔφασκον εἶναι μὴ συνευδοκοῦντα ......*

ΛΕΙΠΕΙ ΠΟΛΛΑ.

www.libtool.com.cn

17. *τριβαλοῖς* codd. Bekkeri. — *δὲ* post *ἐμὲ* om. codd. Bekkeri. cf. autem Aesch. 3, 164.

www.libtool.com.cn

# INDEX

## NOMINUM ET RERUM MEMORABILIUM.

*A.*


ἀγορά 1, 32. 43. 101.
Ἀθηνᾶ 1, 36. 45. Πολιάς 64. cf. θεός.
Ἀθῆναι 2, 25.
Ἀθηναῖοι 1, 1 pass. Ἀθηναῖον εἶναι civem Ath. fieri 1, 44 sq.
ἀκρόπολις 1, 37. 96; 2, 24.
Ἀλέξανδρος Macedo 1, 20. 34. 68. 70. 82. 89. 94. 103; Dem. 11. 17.
Ἁλιρρόθιος: de eius caede iudicium 1, 87.
ἀλιτήριος τῆς Ἑλλάδος Demosth. 1, 77.
Ἄμφισσα 1, 74.
ἀναιρεῖσθαι εἰςαγγελίαν 1, 94.
ἀνακρίνειν de magistratibus designatis 2, 17.
Ἀντίπατρος Macedo 1, 18. 28.
Ἀντιφῶν ex Areopagi indicio necatus 1, 63.
ἀπάγειν εἰς δεσμωτήριον 2, 9. κακοῦργον 2, 10.
ἀποδοκιμάζειν de magistr. designato 2, 10.
ἀποφαίνειν et ἀπόφασις de Areopago 1, 1 pass.
ἀποχειροτονεῖν de magistratu 3, 15.
ἀρά in contione 1, 46 sqq.; 2, 16.
Ἄρειος πάγος: ἡ βουλὴ ἡ ἐξ Ἀρ. π. 1, 1 pass. — αἱ σεμναὶ θεαὶ αἱ ἐν Ἀρ. π. 1, 47. — Ἀρεοπαγῖται 1, 5. 51. 53; 2, 7.
Ἄρης 1, 87.
Ἄρθμιος Zelita ab Ath. expulsus 2, 24 sq.
Ἀρίσταρχος Moschi f. a Demosth. ad facinus illectus 1, 30. 47.
Ἀριστείδης tributum sociis constituit 1, 37.
Ἀριστογείτων tyrannicida 1, 101.
Ἀριστογείτων Cydimachi f. or. II; 3, 12.
Ἀριστοφῶν Timothei accusator 1, 14; 3, 17.
Ἀρκαδες 1, 18. 20 sq. 73.
Ἁρμόδιος tyrannicida 1, 63. 101.
Ἅρπαλος Macedo 1, 1 pass.; 2, 4 sq.
Ἄρτεμις Βραυρωνία 2, 12.
ἀρχιθεωρός et ἀρχιθεωρία (Olympiam) 1, 81 sq.
Ἀρχῖνος optimorum consiliorum populo auctor 1, 76.

*Ἀρχῖνος* ex Areopagi indicio in exilium actus 1, 63.
*ἄστυ* opp. Piraeeus 1, 69. 96.
*Ἄστυλος* praetor Arcadum 1, 20.
*Ἀττική* 1, 89; Dem. 2. 14.
*Ἄφιδναι*: *Ἀφιδναῖος* 1, 23.
*Ἀχαιοί* 1, 34.

*B.*

*Βάρβαρος* Persarum rex 2, 26; Macedones 1, 24.
*βασιλεὺς Περσῶν* 1, 10. 18. 32. — *τὰ βασιλικά* regis Pers. res 1, 15. 70. *τὸ βασιλικὸν χρυσίον* (CCC tal. Demostheni transmissa) 1,20.
*Βιρισάδης* Ponti rex (rectius *Παιρισ.*) 1, 43.
*Βοιωτοί* Dem. 12.
*βουλὴ ἡ ἐξ Ἀρείου πάγου* 1, 1 pass.
*βουλή* Quingentorum 1, 47. 82.
*Βραυρών*: *Ἄρτεμις Βραυρωνία* 2, 12.

*Γ.*

*γιγνώσκειν* i. qu. *γνώμας ἐν τῷ δήμῳ λέγειν* 2, 16.
*Γόργιππος* Ponti rex 1, 43.
*γράφεσθαι παρανόμων* 1, 100 sq.
*γραφὴ παρανόμων* 2, 12. *δώρων* 2, 17.

*Δ.*

*δεσμωτήριον* 2, 2. 9 sq. 14.
*δημαγωγός* i. qu. *προστάτης τοῦ δήμου* 1, 1. 10. 31. 53. 99.
*Δημάδης* 1, 7. 11. 45. 89. 104; 2, 15; Dem. 2.
*Δημέας* Demadis p. Dem. 7.
*δημεύειν* 3, 5.
*Δημοσθένης* or. I; 2, 15; Dem. 17.
*διαδικάζεσθαι* tropico sensu 2, 1; 3, 20.
*δικαστήρια* de aedificiis 2, 13.
*διοίκησις*: *ἐκ τῆς διοικ.* 1, 80.
*διόμνυσθαι* in Areopago 1, 47.
*Δίφιλος* coena in Pryt. et statua in foro donatus 1, 43.
*Δωδώνη* 1, 78. — *Δωδωναῖος Ζεύς* ibd.

*E.*

*ἕδος*: *μεταξὺ τοῦ ἕδους καὶ τῆς τραπέζης* 3, 2. cf. *ὅρκος*.
*εἰκών* in foro Diphilo decernitur 1, 43. cf. *χαλκοῦς*.
*εἰσαγγέλλειν* 1, 52. 94. 100 sq. — *εἰσαγγελία* 1, 94.
*εἰσάγειν* (*εἰς δικαστ.*) 1, 105. — *εἰσαγώγιμος* de crimine 1, 46.
*εἰσέρχεσθαι εἰς τὸ δικαστ.* de reo 1, 54. 58. 106; *τὴν κρίσιν* 3, 15 ex coni.
*εἰσφέρειν* et *εἰσφορά* (*κατὰ τ. προτέραν εἰσφοράν* cum tributum fieret) 1, 69 sq.
*ἐκβάλλειν* Areopagitarum collegio movere 1, 56.
*Ἐλευσίνια* 1, 23.
*Ἑλλάς* et *Ἕλληνες* 1, 14. 22 pass.
*ἐμπόριον* de Piraeeo 1, 96. *ἐμπορίου ἐπιμελητής* 2, 10.
*ἐνδεικνύναι* 2, 13.
*ἕνδεκα* magistr. 2, 13 sq. cf. 20.
*ἐξόριστον ποιεῖν* 1, 77.
*Ἐπαμινώνδας* 1, 73; Dem. 13.
*Ἐπιγένης* trapezita civitate donatus 1, 43.

www.libtool.com.cn

ἐπιγράφειν τιμημα ἐπὶ τῇ γραφῇ 2, 12.
ἐπιδιδόναι 1, 80. 82.
ἐπιμελητὴς ἐμπορίου 2, 10.
ἐπισκήπτεσθαι μαρτυρίᾳ 1, 52.
ἐπίτιμοι 2, 2.
Ἐρέτρια 2, 18.
Ἐρχιά: Ἑρχιεύς 1, 38.
Εὔβοια 1, 44.
Εὔβουλος (ὁ δημαγωγός) 1, 96.
Εὐθύδικος 1, 33.
Εὐθύμαχος 1, 23.
Εὐρώτας Dem. 12.
εὐφημία in precationibus publicis 2, 14.
ἔφηβοι 3, 15.
Ἐφιάλτης Demosthenis socius 1, 33.

Z.

Ζελείτης 2, 24 sq.
ζεύγη rhedae 1, 28.
Ζεύς 1, 40 etc. Z. Δωδωναῖος 1, 78. Z. σωτήρ 1, 36; 3, 15.
ζητεῖν et ζήτησις de Areopago iussu populi inquirente in aliquos 1, 3. 7. 50. 55 etc. 3, 18. 22.

H.

Ἠλεῖοι 1, 34.
Ἠλεῖος bonus civis Thebani belli tempore 1, 38.
Ἡρακλῆς 1, 7; 2, 3.
ἥρωες ἐγχώριοι 1, 64

Θ.

[θαλλοί 1, 18.]
Θεαγένης praetor Thebanorum 1, 74.
Θεμίστιος ὁ Ἀφιδναῖος morte mulctatus 1, 23.
Θεμιστοκλῆς moenium conditor 1, 37.
ἡ θεός Minerva 1, 96.
Θῆβαι et Θηβαῖοι 1, 10. 12. 16. 18—21. 24 sqq. 28. 38 sq. 72 sq.; Dem. 12 sq. 17.
θῆκαι προγόνων 1, 110.
Θρασύβουλος Stiriensis 1, 25.
Θράσων ὁ Ἑρχιεύς bonus civis Thebani belli tempore 1, 38.
θυσίαι πάτριοι 1, 110. θυσίαι in carcere 2, 9.

I.

ἱέρεια τῆς Ἀρτέμιδος τῆς Βραυρωνίας 2, 12.
ἱερόν: ἱερὰ πατρῷα templa publica 1, 99 (cf. 3, 21); sed sacella privata 2, 17.
ἱερὸς λόχος Thebis 1, 73.
ἱκετηρία 1, 18.
Ἰνδοί 1, 34.
ἱππαρχεῖν 3, 12.
ἱππικόν 1, 96.
Ἰσθμός 1, 18.
Ἰφικράτης moram Laced. oppressit 1, 75.

K.

Καδμεία Thebarum arx 1, 38.
κάθαρμα Demosth. dicitur 1, 16.
κακοῦργοι 2, 10.
Καλλίας Chalcidensis civitate donatus 1, 44.
Καλλιμέδων a Demosth. εἰςαγγελίᾳ petitus 1, 94.
καταλύειν τ. δῆμον 1, 76. κατάλυσις τ. δήμου 1, 94.
καταχειροτονεῖν de populo qui indicatos iudicio tradit 2, 20.


www.libtool.com.cn

*κατήγοροι* decem a populo creati 1, 51. 58. 114; 2, 6.
*Κέρκυρα*: pugna navalis ibi facta Timotheo duce 1, 14. 75; 3, 17.
*Κέφαλος ὁ ῥήτωρ* 1, 38 sq. *ὁ Κολλυτεύς* 76.
*κηρύκεια* 1, 18.
*κῆρυξ* in contione preces pronuntiat 2, 14. caesorum corpora poscit Dem. 8.
*Κηφισοφῶν* ab Areopago de Harpali pecunia indicatus 1, 45.
*κλῆρος* de iudicum sortitione 3, 16.
*Κνίδος*: pugna navalis ibi facta 1, 75.
*Κολλυτός*: *Κολλυτεύς* 1, 76.
*Κόνων* Graeciae liberator 1, 14; 3, 17 add. 1, 16. victor ap. Cnidum 1, 75.
*Κόνων* trapezita civitate donatus 1, 43.
*Κτήσιππος* Chabriae f.: eius patronus (adv. Leptinem) fuit Demosth. 1, 111.
*Κυδαντίδης* 1, 58.
*Κυδίμαχος* Aristogitonis p. 2, 8.

*Λ.*

*λαγχάνειν ἐπιμελητὴς ἐμπορίου* 2, 10.
*Λακεδαιμόνιοι* 1, 14. 25. 34. 38 sq. 73. 75 sq.; 3, 17.
*Λακωνική* Dem. 12.
*Λεῦκτρα*: pugna ibi facta 1, 73; Dem. 12.
*λιπεῖν τὴν τάξιν* 1, 12. 71. 81.
*λογογράφος* qui litigantibus orationes componit 1, 111; de qua re *λογογραφία* Dem. 18.
*Λυκοῦργος* orator Aristogitonem accusavit 2, 13; belli una cum Demosth. auctor Dem. 17.

*M.*

*Μακεδόνες* 1, 19. 28; Dem. 9. 13. 17.
*μαντεία* 1, 78. 98.
*Μέγαρα*: ibi Atheniensium multi exules degebant 1, 58. 94.
*Μεθώνη* a Timotheo capta 1, 14; 3, 17.
*Μένων ὁ μυλωθρός* 1, 23.
*μερὶς ἡ ἐξ Ἀρειοπάγου* 1, 56.
*Μεσσήνη* a Thebanis restituta 1, 73.
*Μῆδοι* 2, 24 sq.
*μήτηρ τῶν θεῶν* (agitur de Metroo) 1, 86.
*μόρα* Laced. ab Iphicrate oppressa 1, 75.
*Μουνυχία* 3, 1. 10.
*μυλών* 1, 23.

*N.*

*Νάξος*: pugna navalis ibi facta 1, 75.
*νεώρια* 1, 95; 3, 1. 9. 13.
*νεώσοικοι* 1, 96.
*Νικάνωρ* ab Alexandro in Graeciam missus 1, 81 sq. 103.
*Νικόδημος* ab Aristarcho occisus 1, 30.
*Νικοφάνης* Polyeucti vitricus 1, 58.
*τὰ νομιζόμενα ποιεῖν* mortuo 2, 18 cf. *νόμιμα*.
*νόμιμα πάτρια* Areopagi 1, 56 cf. 55. — *τῶν νομίμων τυχεῖν* de mortuo 2, 8. — *ἀρχαῖα νόμιμα* Athenarum 3, 21.

www.libtool.com.cn

νομοθέται οἱ πρῶτοι Athenis 2, 16.
νόμος:
Demosthenis π. των τριηράρχων 1, 42.
qui tyrannos finibus arcebat 1, 44.
de eligendis accusatoribus publicis 1, 58.
de βλάβῃ 1, 60.
de δωροδοκίᾳ et δώρων γραφῇ 1, 60; 2, 17.
de δοκιμασίᾳ ῥητόρων κ. στρατηγῶν 1, 71.
de eis qui ἀτιμίας leges migrassent 2, 12.
de eis qui promissis non stetissent 3, 4.

Ξ.

ξένοι mercenarii milites 1, 34. 74.

O.

οἴκημα: ἐπ' οἰκήματος ἱστάναι 1, 23.
οἰκουμένη orbis 1, 13.
Ὀλυμπία 1, 81 sq. 103.
Ὀλύνθιοι 1, 26. Ὀλυνθια παιδίσκη 1, 23.
ὁμόσπονδος καὶ ὁμοτράπεζος 1, 24.
Ὀρέστης: eius apud Areopagum iudicium 1, 87.
ὅρκος: iudicum 1, 14. 84. 86; 3, 17. οἱ ἐν ταῖς κρίσεσι γιγνόμενοι ὅρκοι (scil. κατὰ τῶν παίδων) 1, 71. — ὅρκος ὃν ὤμοσε (Philocles) μεταξὺ τοῦ ἕδους καὶ τῆς τραπέζης 3, 2.
ὄρυγμα: ὁ ἐπὶ τῷ ὀρύγματι 1, 62.
ὀφείλειν τῷ δημοσίῳ 2, 2. 13.

Π.

Πάμφιλος civitate donatus 1, 43.
παρανόμων γράφεσθαι, γραφή 1, 100; 2, 12.
Πειραιεύς 1, 36. 69; 3, 1.
Πελλήνη 1, 23.
Πελοπίδας Theb. 1, 73.
Πελοπόννησος 1, 14; 2, 25; 3, 17.
πέμπτον μέρος τ. ψήφων οὐ μεταλαβεῖν 1, 54.
πεντακόσιοι καὶ δισχίλιοι iudices 1, 52. — πεντ. καὶ χίλιοι in Demosth. causa 1, 107.
πεντεδραχμία in Areopago 1, 56.
Πέρσαι Dem. 13. Περσῶν βασιλεύς 1, 10. 18.
Πιστίας Areopagita 1, 53.
Πολιὰς Ἀθηνᾶ 1, 64.
Πολύευκτος Cydantida 1, 58 sq.
Πολύευκτος Demosthenis in Harpalica causa socius 1, 100.
Ποσειδών Martem in Areop. accusavit 1, 87.
Ποτίδαια a Timotheo capta 1, 14; 3, 17.
πρεσβεία 1, 12. 16. 18. 28. 80; Dem. 8. — πρεσβεύειν 1, 12. 16. 82. — πρεσβευταί 1, 20. 80 sqq.
προεδρία τῶν πρυτάνεων de loco 2, 13.
πρόκλησις 1, 5 sq.
ἐκ προνοίας φόνοι 1, 6.
πρόξενοι 1, 45.
Πρόξενος ὁ προδότης mercenariorum qui Amphissae erant dux 1, 74.
προσάγειν μηνυτήν in contionem 1, 95.


www.libtool.com.cn

*προσέρχεσθαι πρὸς τὴν πόλιν* ad rempublicam accedere 2, 15 cf. Dem. 8.
*προστάττειν ζητεῖν* de populo qui quaestionem Areopago demandat 1, 8. 50. 55. 58; 2, 23. cf. *συντάττειν*.
*ἐν πρυτανείῳ σίτησις* 1, 43. 101.
*πρυτάνεις* 2, 13.
*Πύδνα* a Timotheo capta 1, 14; 3, 17.
*Πυθοκλῆς* 1, 52.
*Πυθῶναξ* Arthmii p. 2,24 sq.
*πῦρ ἐναύειν τινί* 2, 9.

*P.*

*Ροδιοι* 1, 14; 3, 17. *Ῥοδία κιθαρίστρια* 1, 23.

*Σ.*

*Σάμος* a Timotheo capta 1, 14; 3, 17.
*Σάτυρος* Ponti rex 1, 43.
*σεμναὶ θεαί* 1, 47. 64. 87.
*σίτησις ἐν πρυτανείῳ* 1, 43. 101.
*Σκύθης* Demosth. dicitur 1, 15.
*Σπάρτη* Dem. 12.
*στατὴρ χρυσοῦ* 1, 89.
*στήλη χαλκῆ* in qua decretum contra Arthmium inscriptum erat 2, 24 sq.
*στρατηγὸν ἐπὶ τὴν Μουνυχίαν καὶ τὰ νεώρια χειροτονεῖν* 3, 1. — de *δοκιμασίᾳ στρατηγῶν* 1, 71.
*Στρατοκλῆς* princeps accusator Demosth. 1, 1. 20 sq.
*στρεβλοῦν* 1, 63.
*συνέδριον* Areopagi 1, 9 sq. 54. 66 sq. 85 sqq. 104. 112; 3, 7.
*συνηγορεῖν* 1, 48. 112.
*σύνθημα φαίνειν* 3, 10.
*συντάττειν* i. qu. *προστάττειν*, qu. v., 1, 10.
*συσσιτεῖν τινι* 2, 9.
*τὰ σωτήρια τῆς πόλεως* 1, 9.

www.libtool.com.cn

*T.*

*Ταυροσθένης* Chalcid. Calliae fr. 1, 44.
*τὰ τέλη τελεῖν* 2, 17.
*τιμᾶν* de iudicibus 1, 14; 2, 12; 3, 5. 17. — *τιμᾶσθαι θανάτου* (*ἑαυτῷ*) 1, 1; 3, 2.
*τίμημα ποιεῖν* de legibus 1, 60. *τ. ἐπὶ τῇ γραφῇ ἐπιγράφειν* 2, 12, et eodem fere sensu 17.
*τίμησιν ποιεῖσθαι* de iudicibus 3, 11 cf. 2, 11.
*Τιμόθεος* Cononis f. 1, 14. 16. 75; 3, 17.
*Τιμόλας* Thebanus proditor 1, 74.
*τράπεζα*: *ὅρκος μεταξὺ τ. ἕδους καὶ τ. τραπέζης* 3, 2.
*τριακόσιοι* in symmoriis trierarchicis 1, 42.
*Τριβαλλοί* Dem. 17.
*τριήραρχος* 1, 42 cf. *νόμος*.

*Υ.*

*ὕδωρ*: *παραδίδωμι τὸ ὕδωρ* 1, 114. *ἀναλοῦν τὸ ὕ.* 2, 6.

*Φ.*

*φάλαγξ* ap. Thebanos opp. *ξένοι* 1, 74.
*φανερὰ οὐσία* 1, 70.
*Φείδιππος* (*Φίλιππος* codd.) et *Φείδων* cives facti 1, 43
*φεύγειν*: *οἱ ἐξ Ἀρείου πάγου φεύγοντες* 1, 44.

*Φίλιππος* Macedo 1, 24. 28. 44. 74. 80; Dem. 9.
*Φιλοκλῆς* praetor or. III.
*Φιλοκράτης* Hagnusius 1, 28.
*Φορμίσιος* bonus civis Theb. belli tempore 1, 38.
*Φορμίων* trapezita a Dem. in iudicio defensus 1, 111.
*φόροι* ab Aristide constituti 1, 37.
*φυγάδες* 1, 25. 38 sq. 58. 82; Dem. 17.
*Φυλή* a Thrasybulo occupata 1, 25.

*X.*

*Χαβρίας*: eius ap. Naxum victoria 1, 75.
*Χαιρέφιλος* civitate donatus 1, 43.
*Χαιρώνεια*: pugna ibi facta 1, 12. 78. 80. 96; cf. Dem. 9.
*χαλκοῦν ἱστάναι τινά* 1, 43. 101.
*Χαρίδημος* Orita: eius exitium 1, 32.
*χειροτονεῖν* de *κατηγόρων* electione 1, 51, de qua re *χειροτονία* 114; *στρατηγόν* 3, 1. 12.
*Χῖοι* 1, 14; 3, 17.

*Ψ.*

*ψήφισμα* Thebanorum pro Athen. exulibus 1, 25. 27.
Cephali de auxilio Theb. ferendo 1, 39.
de Timothei honoribus, 1, 16.
(Philocratis de pace cum Philippo 1, 28.)
Demosthenis post pugnam Chaeron. 1, 78 sqq.
(Demadis de pace cum Philippo Dem. 9.)
(eiusdem de Philippi honoribus Dem. 9.)
(eiusdem de pace cum Alexandro Dem. 15.)
Demosth., custodiam reipublicae et poenam improborum Areopago committens 1, 62. 82 sq.
Demosthenis de custodienda Harpali pecunia et Alexandro reddenda 1, 68. 78. 89.
quo quaestio de Harpali pecunia Areopago mandata est 1, 4. 51; 2, 23.
Demosthenis, quo de se quaestionem Areop. mandavit 1, 4. 61. 63. 85 sq. pass.
Philoclis, quo is eadem in se constituit 3, 2. 5. 16.

*Ω.*

*Ὠρωπός* Dem. 8.


www.libtool.com.cn

www.libtool.com.cn

HB
12

www.libtool.com.cn

LGr
D583B
11995
Author Dinarchus
Title Orationes, adjecto Demadis qui fertur fragmento; ed. by Blass.
NAME OF BORROWER.
DATE.

University of Toronto Library
www.libtool.com.cn

DO NOT REMOVE THE CARD FROM THIS POCKET

Acme Library Card Pocket
LOWE-MARTIN CO. LIMITED

www.libtool.com.cn